T. 1

John S. Popkin. 1824
from Dr. Hilliard

ΑΝΑΛΕΚΤΑ ʽΕΛΛΗΝΙΚΑ ΜΕΙΖΟΝΑ·

SIVE

COLLECTANEA GRÆCA MAJORA:

AD USUM ACADEMICÆ JUVENTUTIS

ACCOMMODATA.

CUM

NOTIS PHILOLOGICIS,

QUAS PARTIM COLLEGIT, PARTIM SCRIPSIT

ANDREAS DALZEL, A.M.

SOCIUS REGIÆ SOCIETATIS EDINENSIS,

ET NUPER IN ACADEMIA JACOBI VI. SCOTORUM REGIS LITT. GR. PROF.

EIDEMQUE A SECRETIS ET BIBLIOTHECARIUS.

TOMUS I.

COMPLECTENS

EXCERPTA EX VARIIS ORATIONIS SOLUTÆ SCRIPTORIBUS.

*** In hac NOVA EDITIONE, inutilia resecta sunt, et haud pauca in melius mutata.

LONDINI:

APUD T. CADELL ET W. DAVIES; F. C. ET J. RIVINGTON;

LONGMAN, HURST, REES, ORME, ET BROWN; J. RICHARDSON;

J. MAWMAN; ET G. ET W. B. WHITTAKER.

EDINBURGI:

APUD BELL ET BRADFUTE.

1821.

Excudebat R. Watts, Crown Court, Temple Bar.

AD LECTOREM.

PRÆFATIO

PRIMÆ EDITIONIS.

Ex iis qui Litterarum Græcarum studio, seu discentes sive docentes, operam dederint, multi conquesti sunt se ab usu atque lectione principum Auctorum Græcorum quodammodo arceri, cum propter sumptus, non omnibus accommodatos, quibus eorum scripta comparantur, tum ob molem et multitudinem ipsorum librorum, quos totos evolvere neque tempus, quod huic studio impendi solet, discipulos sinit, neque ipsius studii ratio atque consilium postulat.

Quoniam autem non modo decet sed etiam oportet omnes, qui nobilissimæ Linguæ Græcæ vel mediocrem cognitionem habere cupiunt, Auctorum variorum vario generi scribendi mature assuescere; et hujusmodi Collectanea, in aliis regionibus hactenus edita, neque comparatu facilia sunt, neque nostratibus satis arrident; idcirco hæc nova demum Analecta, ad usum Studiosæ Juventutis, edere visum est. In quibus contexendis pauca non solum ex Historicis, verum etiam ex Oratoribus, Philosophis, Criticis, aliisque desumpta sunt; haud ita tamen ut quis putet ea ad Græcas Litteras penitus cognoscendas sufficere, sed ut Discipuli Ingenui, horum exemplarium

venustate allecti, hortos illos amœnos, unde flores tam pulchri provenerint, ingrediendi ac perlustrandi cupidine incendantur.

Quod ad Versiones, quas vocant Latinas, attinet, quæ Græcos libros comitari solent, eas, tanquam a nostro proposito prorsus alienas, abjiciendas duximus; quippe optimi jamdudum Magistri consenserunt eas inter præcipuas causas esse, cur tam pauci Græce eruditissimi evadant. Nam si discentes in singularum vocum ac locutionum Græcarum vero sensu eliciendo plus temporis ac studii, præferente facem, perito Præceptore, initio ponere vellent, neque ad talia auxilia, quæ semper præsto sunt, noxia tamen ac fallacia, perpetuo confugerent, sponderet quis eos multo citius ad veram Græcæ Linguæ cognitionem perventuros; nec fore ut tam multi ex iis etiam qui nomen Eruditorum præ se ferunt, inveterata jam cui juvenes indulsissent consuetudine, ad interpretationum opem identidem recurrere cogerentur.

Ne tamen, etiam post Præceptoris prælectionem, omni aliena ope destituatur Discipulus, accedunt breves aliquot Annotationes Philologicæ, ubi quodcunque difficultatis, seu ex singulis vocibus, sive ex linguæ idiomatis, sive denique ex sermonis structura occurrit, id ita expeditur, nunc Latine, nunc autem Anglice, ut Studiosus sedulus vix inveniat quod suum progressum impedire possit.

Hæ autem Annotationes partim selectæ sunt ex variis Interpretibus ac Scholiastis, partim recens conscriptæ; minime tamen eo consilio, ut doctis tantummodo se commendent, neque ut, prolatis acervatim sententiis undique petitis, summæ eruditionis speciem præ se ferant; sed ut studiosæ Juventuti auxilium, qualecunque id demum sit, quam paucissimis, præbeant. Labor quidem humilis, laus vero non item, si modo hoc opusculum vel tantulum con-

ferre valuerit ad studium promovendum Græcarum Litterarum, quibus apud nos deficientibus, cito deficiet omnis doctrina politior; iisdem vigentibus, omnes etiam artes, quæ ad humanitatem pertinent, una vigebunt.

Forsitan et hæ Notulæ cognitionem Græcæ Linguæ, casu aliquo amissam, recuperare volentibus non nihili sunt futuræ. Quin et præceptoribus quibusdam junioribus e re esse possint, præsertim quum nomina auctorum, qui plenius de hujusmodi rebus commentati sunt, non raro indicent, quos, si plura velint, adire licet.

Tirones autem, qui hæc Collectanea proprio Marte perlegere cupiant, monere oportet, ut initium sumant ab iis quæ minus sunt difficilia, quæ scilicet decerpta sunt ex operibus Xenophontis: deinde Herodotum, Polyænum, Ælianum, Thucydidem adeant; denique Philosophos, Oratores, Criticos aggrediantur.

Cæterum, nihil ex poetis hic exhibetur: non ideo tamen quod eos a republica nostra, uti olim suadebat Plato, relegandos censuimus, sed ut alterum Volumen seorsum occupent. Id autem, si hoc minus displicere compertum fuerit, pari modo instructum, quam maturime prelo subjicietur. Vale.

*** In Annotationibus, quæcunque signantur litteris I. T. cum Dalzelio, Analecta quintum edituro, communicavit vir doctissimus ac humanissimus Jacobus Tate, A. M. qui in alterum etiam hujus operis volumen operam egregiam contulerat.

PRÆFATIO

SECUNDÆ EDITIONIS.

TRIENNIUM nondum exactum fuit, ex quo prior horum COLLECTANEORUM tomi prioris editio lucem aspexisset, quum Bibliopolæ me commonefacere cœperint jam tempus esse, ut ad novam expoliendam edendamque me accingerem. Consilio igitur tomi alterius, qui EXCERPTA EX VARIIS POETIS complecteretur, publici juris faciendi in aliud tempus dilato, ad hunc iterum edendum animum applicui, ne, non solum propriis discipulis, verum etiam aliis alibi, quibus hoc qualecunque operis non displicuisse compereram, ejus exemplaria interim deessent. Ante id tempus aliquandiu quidem impeditus fueram quo minus alterum illud volumen ederem, tum aliis perpetuis fere negotiis quibus eram districtus, tum labore quem impendere necesse fuit illis, nuper editis, COLLECTANEIS MINORIBUS concinnandis, quæ junioribus discipulis ad usum hujus libri majoris viam faciliorem patefacerent.

Interea occasionem non invitus arripui, tam cito oblatum, qua grati animi sensum, ob librum hunc adeò humaniter a doctis præceptoribus exceptum, publice exprimerem; atque errores, qui in priore editione, sive

operarum inscitia, seu mea ipsius scribendarum Annotationum et preli corrigendi novitate, fuerant admissi, secundis curis pro virili parte tollerem. Quibus autem modis hoc efficere, adeoque totum hoc volumen publico favore minus indignum reddere, conatus sim, nunc paucis exponam.

1. Totum Contextum, quem vocant, Græcum diligenter recensui, et non solum errata typographica, quantum potui, tollenda, sed interpunctionem, in locis innumeris, rectius, ni multum fallor, constituendam, curavi; in cæteris, editiones illas, quarum, ad singula Excerpta, facta est mentio, ferè sequutus. Sed quia multis in locis Annotationes ampliare visum est, pauca Excerptorum ex Herodoto, et Xenophontis de Agesilao Rege Orationem, ne moles libri nimis excresceret, omittenda duxi. Quo autem facilius discentium oculi ad singulas Annotationes dirigantur, parvula numerorum signa Arabica, ubique per Contextum, suo quodque loco, inseruntur, quorum usum lector, primo intuitu, nequat non sentire.

2. Annotationibus in singula Excerpta præfigitur, uti in Analectis Minoribus, Scriptoris Vitæ brevis notitia, ejusque Operum Editionum enumeratio; quæ sint tanquam rudimenta ejus generis eruditionis, sine quo nemo vir doctus merito haberi potest. Annotationes ipsæ, quas omnes diligenter retractavi, emendatiores, et pluribus in locis auctiores, ut jam innui, hic exhibentur. Namque, inter docendum, earum quasdam mendosas, plurimas nimis breves deprehenderam: erant scilicet initio currente calamo exaratæ, ut desiderio Juventutis ingenuæ, librum manibus suis tractandum (quod ejus fuit erga me studium) assiduis vocibus postulantis, satisfieret.

Verum, tametsi hæc editio priore sit plane multo emendatior, venustior ac melior, eam ab omni labe immunem spondere nequimus. Restant etiamnum, sine dubio, multa

corrigenda. Sed quam sit difficile, vel potius quam sit impossibile, in hisce rebus minutis tractandis, omni vitio caruisse, eruditissimi homines optime norunt.

Atque hæc sunt, Lector benevole, quæ tecum in antecessum communicanda habui. Iterum vale!——Scr. Edinburgi, in Acad. Jac. VI. Scotorum Regis, Kalend. Jan. M.DCC.LXXXIX.

MONITUM.

Redemtoribus librariis, novam editionem Dalzelii Analectorum parantibus, id operæ præstiti, ut quæ tironibus inutilia essent, resecarem, et errores satis spissos, quos Dalzelius, vir elegantis ingenii, vel in textu constituendo vel explicando admiserat, corrigerem. Quid in hac parte effecerim judicare poterunt, qui hanc editionem cum prioribus contulerint.

In Excerptis Criticis nihil præter Longinum retinui. Aristotelis libellus de arte poetica aptior erat pueris qui familiaritatem aliquam cum his litteris contraxissent. Dionysii judicium de historicis Græcis falsum esse, neque juvenibus commendandum, omnes fatentur. Polyænum autem cum Æliano penitus ablegavimus, ut in eorum vicem Polybium substitueremus, scriptorem gravissimum, tironibus vero plerumque ignotum, nisi forte in Wyttenbachii *Selecta Principum Historicorum* inciderint, ex quo libro Prooemium Polybianum edidimus.

Multa profecto, discentibus utilia, commentario adjici potuissent, si tempus suppeditasset. Quod errores ad minimum quingentos sustulimus, ipsum vero librum puerorum usibus magis accommodatum reddidimus, gratiam nobis habebunt quibus juventus nostra Græcis litteris imbuenda traditur.

1821. C. J. B.

——— *Vos Exemplaria Græca*
Nocturna versate manu, versate diurna.

HOR. IN ARTE POET. 268.

INDEX

EORUM QUÆ IN HOC PRIMO VOLUMINE CONTINENTUR.

Pars Prima.

EXCERPTA HISTORICA.

I. Ex HERODOTO.

II. Ex THUCYDIDE.

III. E XENOPHONTE.

E CYROPÆDIA:

Ex ANABASI:

Pars Secunda.

EXCERPTA RHETORICA.

Pars Tertia.

EXCERPTA PHILOSOPHICA.

Pars Quarta.

EXCERPTA MISCELLANEA.

II. Ex THEOPHRASTO.

CHARACTERES ETHICI: PAG.

Pars Quinta.

EXCERPTA CRITICA.

Ex LONGINO.

APPENDIX.

ANALECTA GRÆCA MAJORA.

TOMI PRIORIS

PARS PRIMA

EXCERPTA HISTORICA.

I.

[1]Ex HERODOTO.

[Ad Edit. Joannis Schweighaeuser. Argentor. 1816.]

——*Dulcis et candidus et fusus* Herodotus. Quinct. X. 1.

[2]Ἐκ τῆς ΚΛΕΙΟΥΣ.

I. 23.

ΑΡΙΩΝ.

[3]Ἐτυράννευε ὁ Περίανδρος Κορίνθου· [4]τῷ δὴ λέγουσι Κορίνθιοι,—ὁμολογέουσι δέ [5]σφι Λέσβιοι,—[6]ἐν τῷ βίῳ, θῶυμα μέγιστον [7]παραστῆναι· [8]ΑΡΙΟΝΑ τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων [9]οὐδενὸς δεύτερον, καὶ [10]διθύραμβον, πρῶτον ἀνθρώπων [11]τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομάσαντα, καὶ διδάξαντα ἐν Κορίνθῳ.

Τοῦτον τὸν Ἀρίονα λέγουσι, [12]τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. [13]Ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι, [14]μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. [15]Τοὺς δὲ ἐν τῷ πελάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, [16]ἔχειν τὰ χρήματα. [17]Τὸν δέ, συνέντα τοῦτο, λίσσεσθαι,

χρήματα μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον. οὐκ ὦν δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας [1]ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾷν ἐς τὴν θάλασσαν, [2]τὴν ταχίστην.

[3]Ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, [4]περιϊδέειν αὐτὸν, [5]ἐν τῇ σκευῇ πάσῃ, στάντα ἐν τοῖσι [6]ἑδωλίοισι, ἀεῖσαι· [7]ἀείσας δὲ, ὑπεδέκετο ἑωυτὸν κατεργάσασθαι· [8]καὶ,—τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ,—ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. Τὸν δὲ, ἐνδύντα τε πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι, [9]διεξελθεῖν νόμον τὸν ὄρθιον. Τελευτῶντος δὲ τοῦ νόμου, ῥίψαι μιν ἐς τὴν θάλασσαν ἑωυτὸν, [10]ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ· καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον· τὸν δὲ, δελφῖνα, λέγουσι, ὑπολαβόντα, ἐξενεῖκαι ἐπὶ Ταίναρον.

Ἀποβάντα δὲ αὐτὸν, χωρέειν ἐς Κόρινθον, σὺν τῇ σκευῇ· καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ, ὑπὸ ἀπιστίης, Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, [11]οὐδαμῇ μετιέντα, [12]ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. [13]Ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς κληθέντας, ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. Φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην, καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, [14]ὥσπερ ἔχων ἐξεπήδησε. Καὶ τοὺς, ἐκπλαγέντας, [15]οὐκ ἔχειν ἔτι, ἐλεγχομένους, ἀρνέεσθαι.

Ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι. Καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον, οὐ μέγα, [16]ἐπὶ Ταινάρῳ, [17]ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

I. 28.

[1]ΚΡΟΙΣΟΣ καὶ ΣΟΛΩΝ.

Χρόνου δὲ ἐπιγινομένου, καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων—πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑπ' ἑωϋτῷ εἶχε καταστρεψάμενος ὁ ΚΡΟΙΣΟΣ· εἰσὶ δὲ οἵδε, Λυδοὶ, Φρύγες, Μυσοὶ, Μαριανδυνοὶ, Χάλυβες, Παφλαγόνες, [2]Θρήϊκες, οἱ Θυνοί τε καὶ Βιθυνοὶ. Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι.—κατεστραμμένων δὲ τούτων, καὶ [3]προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις, ἀκμαζούσας πλούτῳ, ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ, τοῦτον τὸν χρόνον, [4]ἐτύγχανον ἐόντες, [5]ὡς ἕκαστος αὐτέων ἀπικνέοιτο, καὶ δὴ καὶ ΣΟΛΩΝ, ἀνὴρ Ἀθηναῖος, ὃς, Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο· [6]αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι, τοὺς ἂν σφίσι Σόλων θῆται.

Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. Ἀπικόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροίσου. Μετὰ δὲ, ἡμέρῃ τρίτῃ, ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. Θηησάμενον* δέ μιν τὰ πάντα, καὶ σκεψάμενον, ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε· "Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ
" σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τῆς σῆς
" καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνε-
" κεν ἐπελήλυθας· νῦν ὦν ἵμερος [7]ἐπείρεσθαί μοι ἐπῆλθέ

“ σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον;” Ὁ μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπειρώτα. Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ [1]τῷ ἐόντι χρησάμενος, λέγει· “Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον.” Ἀποθωμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο [2]ἐπιστρεφέως, “ [3]Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;” Ὁ δὲ εἶπε, “Τέλλῳ, [4]τοῦτο μὲν, [5]τῆς πόλιος εὖ ἡκούσης,
“ παῖδες ἦσαν καλοί τε κἀγαθοὶ, καί σφι εἶδε ἅπασι
“ τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα· τοῦτο δὲ,
“ [6]τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου
“ λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι μά-
“ χης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ
“ [7]τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα·
“ καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν [8]αὐτοῦ τῇπερ
“ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως.”

I. 34.

ΑΤΥΣ καὶ ΑΔΡΗΣΤΟΣ.

Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, [9]ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθηΐην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. Ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν οὕτερος μὲν [10]διέφθαρτο—ἦν γὰρ δὴ κωφός—ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ, τὰ πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν ΑΤΥΣ. Τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. Ὁ δ', ἐπεί τ' ἐξηγέρθη, καὶ [11]ἑωυτῷ λόγον ἔδωκε, [12]καταῤῥωδήσας τὸν ὄνειρον, [13]ἄγεται μὲν τῷ παιδὶ γυναῖκα· [14]ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν, οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια δὲ καὶ δοράτια, καὶ τὰ τοιαῦτα πάντα, τοῖσι χρέων-

ται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς θαλάμους [1] συνένησε, μή τί [2] οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

Ἔχοντος δὲ οἱ [3] ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος, καὶ [4] οὐ καθαρὸς χεῖρας ἐὼν, Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληΐου. Παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία, κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο κυρῆσαι. Κροῖσος δέ μιν ἐκάθηρε. Ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. Ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη; λέγων τάδε, "Ὤνθρωπε, τίς τε ἐὼν, καὶ κόθεν τῆς Φρυγίης ἥκων, ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" Ὁ δὲ ἀμείβετο, "Ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεω εἰμὶ παῖς, οὐνομάζομαι δὲ ΑΔΡΗΣΤΟΣ· φονεύσας δὲ ἀδελφεὸν ἐμεωυτοῦ ἀέκων, πάρειμι, ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς, καὶ ἐστερημένος πάντων." Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε, "Ἀνδρῶν τε φίλων [5] τυγχάνεις ἔκγονος ἐὼν, καὶ ἐλήλυθας ἐς φίλους, ἔνθα [6] ἀμηχανήσεις χρήματος οὐδενὸς, μένων [7] ἐν ἡμετέρου· συμφορὴν δὲ ταύτην ὡς κουφότατα φέρων, κερδανέεις πλεῖστον." Ὁ μὲν δὴ δίαιταν εἶχε [8] ἐν Κροίσου.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ, [9] συὸς χρῆμα γίνεται μέγα· ὁρμεώμενος δὲ οὗτος ἐκ τοῦ οὔρεος τούτου, τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε. Πολλάκι δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες, ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ. Τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, "Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον [10] ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει· τοῦτον προθυμεόμενοι ἑλέειν, οὐ δυνάμεθα· νῦν ὦν προσδεόμεθα σεῦ, τὸν παῖδα καὶ [11] λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἂν

" μιν ἐξέλωμεν ἐκ τῆς χώρης." Οἱ μὲν δὴ τούτων ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε, " Παιδὸς μὲν περὶ τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν " ὑμῖν συμπέμψαιμι· νεόγαμός τε γάρ ἐστι, [1] καὶ ταῦτά " οἱ νῦν μέλει. Λυδῶν μέντοι λογάδας καὶ τὸ [2] κυνη-" γέσιον πᾶν συμπέμψω· καὶ διακελεύσομαι τοῖσι ἰοῦσι, " εἶναι ὡς προθυμοτάτοισι συνεξελέειν ὑμῖν τὸ θηρίον ἐκ " τῆς χώρης." Ταῦτα ἀμείψατο.

[3] Ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν, ἐπεισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς [4] τῶν ἐδέοντο οἱ Μυσοί· [5] οὐ φαμένου δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε, " Ὦ πάτερ, [6] τὰ κάλ-" λιστα, πρότερόν κοτε, καὶ γενναιότατα ἡμῖν ἦν, ἔς τε " πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐδοκιμέειν· νῦν δὲ " [7] ἀμφοτέρων με τούτων ἀποκληΐσας ἔχεις, οὔτε τινὰ " δειλίην [8] μοὶ παριδὼν, οὔτε ἀθυμίην· νῦν τε [9] τέοισί " με χρὴ ὄμμασι, ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέ-" οντα, φαίνεσθαι; κοῖος μέν τις τοῖσι πολιήτησι δόξω " εἶναι; κοῖος δέ τις τῇ νεογάμῳ γυναικί; [10] κοίῳ δὲ " ἐκείνη δόξει ἀνδρὶ συνοικέειν; Ἐμὲ, ὦν, σὺ ἢ μέθες " ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον, ὅκως μοι ἀμείνω " ἐστὶ ταῦτα οὕτω ποιεόμενα." Ἀμείβεται Κροῖσος τοῖσδε, " Ὦ παῖ, οὔτε δειλίην, οὔτε ἄλλο οὐδὲν ἄχαρι, " παριδών τοι, ποιέω ταῦτα· ἀλλά μοι ὄψις ὀνείρου " ἐν τῷ ὕπνῳ ἐπιστᾶσα, ἔφη σὲ ὀλιγοχρόνιον ἔσεσθαι· " ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι. Πρὸς ὦν τὴν " ὄψιν ταύτην, τόν τε γάμον τοι τοῦτον ἔσπευσα, καὶ " [11] ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν " ἔχων, εἴ κως δυναίμην [12] ἐπὶ τῆς ἐμῆς σε ζωῆς [13] δια-" κλέψαι, εἷς γάρ μοι μοῦνος [14] τυγχάνεις ἐὼν παῖς· τὸν " γὰρ δὴ ἕτερον, [15] διεφθαρμένον τὴν ἀκοὴν, οὐκ εἶναί μοι " λογίζομαι."

Ἀμείβεται ὁ νεηνίης τοῖσδε, "Συγγνώμη μὲν, ὦ πάτερ, "τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν "ἔχειν· [1] τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, "ἐμέ τοι δίκαιόν ἐστι φράζειν. Φῄς τοι τὸ ὄνειρον, ὑπὸ "αἰχμῆς σιδηρέης φάναι ἐμὲ τελευτήσειν· ὑὸς δὲ "κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη, τὴν σὺ "φοβέεαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε τελευτή-"σειν με, ἢ [2] ἄλλου τευ [3] ὅ τι τούτῳ ἔοικε, χρῆν δή σε "ποιέειν [4] τὰ ποιέεις· νῦν δὲ, ὑπὸ αἰχμῆς. ἐπεί τε ὦν "οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέθες με."

Ἀμείβεται Κροῖσος, "Ὦ παῖ, [5] ἔστι τῇ με νικᾷς γνώ-"μην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου· Ὡς ὦν νενικημένος "ὑπὸ σέο, μεταγινώσκω, μετίημί τέ σε ἰέναι ἐπὶ τὴν "ἄγρην."

Εἴπας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον· ἀπικομένῳ δέ οἱ λέγει τάδε, "Ἄδρηστε, "ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάριτι, [6] τήν τοι οὐκ "ὀνειδίζω, ἐκάθηρα, καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω, "παρέχων πᾶσαν δαπάνην. Νῦν ὦν—ὀφείλεις γὰρ, ἐμεῦ "προποιήσαντος χρηστὰ ἔς σε, χρηστοῖσί με ἀμείβεσθαι— "φύλακα παιδός σε τοῦ ἐμοῦ, χρήζω γενέσθαι, ἐς "ἄγρην ὁρμεωμένου, μή τινες κατ' ὁδὸν κλῶπες κα-"κοῦργοι ἐπὶ δηλήσει φανέωσι ὑμῖν. Πρὸς δὲ τουτῷ, καὶ "σέ τοι [7] χρεών ἐστι ἰέναι, ἔνθα [8] ἀπολαμπρύνεαι τοῖσι "ἔργοισι· πατρώϊόν τε γάρ τοι ἐστὶ, [9] καὶ προσέτι ῥώμη "ὑπάρχει."

Ἀμείβεται ὁ Ἄδρηστος, "Ὦ βασιλεῦ, [10] ἄλλως μὲν "ἔγωγε ἂν οὐκ ἤϊα ἐς ἄεθλον τοιόνδε· [11] οὔτε γὰρ συμ-"φορῇ τοιῇδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ "πρήσσοντας ἰέναι, οὔτε τὸ βούλεσθαι [12] πάρα· πολλαχῇ "τε ἂν ἴσχον ἐμεωυτόν.* Νῦν δὲ, ἐπεί τε σὺ σπεύδεις, "καὶ δεῖ τοι χαρίζεσθαι,—ὀφείλω γάρ σε ἀμείβεσθαι "χρηστοῖσι,—ποιέειν εἰμὶ ἕτοιμος ταῦτα· παῖδά τε σὸν,

"τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα, [1]τοῦ φυλάσ-
"σοντος εἵνεκεν, προσδόκα τοι ἀπονοστήσειν."

Τοιούτοισι ἐπεί τε οὗτος ἀμείψατο Κροῖσον, ἤϊσαν, μετὰ ταῦτα, ἐξηρτυμένοι λογάσι τε νεηνίησι καὶ κυσί. ἀπικόμενοι δὲ ἐς τὸν Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δὲ, καὶ περιστάντες αὐτὸ κύκλῳ, ἐσηκόντιζον. Ἔνθα δὴ ὁ ξεῖνος, οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. Ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ, ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην· ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ.

Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν ἀπέκτεινε, τὸν αὐτὸς φόνου ἐκάθηρε· [2]περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη· ἐκάλεε δὲ [3]ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν· τὸν μὲν ἐπίστιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον, φονέα τοῦ παιδὸς [4]ἐλάνθανε βόσκων· τὸν δὲ ἑταιρήϊον, ὡς φύλακα συμπέμψας αὐτὸν, εὑρήκοι πολεμιώτατον.

Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ, φέροντες τὸν νεκρὸν, ὄπισθεν δὲ εἵπετό οἱ ὁ φονεύς· [5]στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ, παρεδίδου ἑωυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορὴν, καὶ ὡς, ἐπ᾽ ἐκείνῃ, τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ, τούτων ἀκούσας, τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηΐῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτὸν, "Ἔχω, "ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην, [6]ἐπειδὴ σεωυτοῦ "καταδικάζεις θάνατον· εἷς δὲ οὐ σύ μοι τοῦδε τοῦ κα-"κοῦ αἴτιος, [7]εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο· ἀλλὰ

"θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλ-
"λοντα ἔσεσθαι." Κροῖσος μέν νυν ἔθαψε, ὡς ἐοικὸς ἦν, τὸν ἑωυτοῦ παῖδα. Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, [1] συγγινωσκόμενος ἀνθρώπων εἶναι, τῶν αὐτὸς ἤειδε, βαρυσυμφορώτατος, ἑωυτὸν ἐπικατασφάζει τῷ τύμβῳ.

I. 59.

ΠΕΙΣΙΣΤΡΑΤΟΣ.

[2] Τούτων δὴ ὦν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατεχόμενόν τε καὶ διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ ΠΕΙΣΙΣΤΡΑΤΟΥ τοῦ Ἱπποκράτεος, τοῦτον τὸν χρόνον τυραννεύοντος Ἀθηναίων. Ἱπποκράτεϊ γὰρ, ἐόντι ἰδιώτῃ, καὶ θεωρέοντι τὰ Ὀλύμπια, τέρας ἐγένετο μέγα· θύσαντος γὰρ αὐτοῦ τὰ ἱρὰ, οἱ λέβητες, [3] ἐπεστεῶτες, καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος, ἄνευ πυρὸς ἔζεσαν καὶ ὑπερέβαλον. Χίλων δὲ ὁ Λακεδαιμόνιος παρατυχὼν, καὶ θηησάμενος τὸ τέρας, συνεβούλευεν Ἱπποκράτεϊ, πρῶτα μὲν, [4] γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία· [5] εἰ δὲ τυγχάνει ἔχων, δεύτερα, τὴν γυναῖκα ἐκπέμπειν· καὶ εἴ τίς οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι· οὐκ ὦν ταῦτα παραινέσαντος Χίλωνος, πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα. Γένεσθαί οἱ, μετὰ ταῦτα, τὸν Πεισίστρατον τοῦτον, ὃς, στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, [6] καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀριστολαΐδεω, καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν· συλλέξας δὲ στασιώτας, [7] καὶ τῷ λόγῳ τῶν Ὑπερακρίων προστὰς, μηχανᾶται τοιάδε. Τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους, ἤλασεν ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθροὺς, οἵ μιν, ἐλαύνοντα ἐς ἀγρὸν, ἠθέλησαν ἀπολέσαι δῆθεν· ἐδέετό τε τοῦ δήμου φυλακῆς τινὸς πρὸς αὐ-

τοῦ κυρῆσαι, [1] πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν, καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. [2] Ὁ δὲ δῆμος, ὁ τῶν Ἀθηναίων, ἐξαπατηθεὶς, ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθεν· συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ, ἔσχον τὴν ἀκρόπολιν. Ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχεν Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας, οὔτε θέσμια μεταλλάξας· [3] ἐπί τε τοῖσι κατεστεῶσι ἔνεμε τὴν πόλιν, κοσμέων καλῶς τε καὶ εὖ. Μετὰ δὲ οὐ πολλὸν χρόνον, [4] τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέους στασιῶται καὶ οἱ τοῦ Λυκούργου, ἐξελαύνουσί μιν.

Οὕτω μὲν Πεισίστρατος ἔσχε τοπρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔ κω κάρτα ἐρριζωμένην ἔχων, ἀπέβαλεν. Οἱ δὲ ἐξελάσαντες Πεισίστρατον, αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισιν ἐστασίασαν. [5] Περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης, ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα [6] ἐπὶ τῇ τυραννίδι. [7] Ἐνδεξαμένου δὲ τὸν λόγον, καὶ ὁμολογήσαντος ἐπὶ τούτοισι Πεισιστράτου, μηχανῶνται δὴ [8] ἐπὶ τῇ κατόδῳ πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ,—[9] ἐπεί γε ἀπεκρίθη, ἐκ παλαιτέρου, τοῦ βαρβάρου ἔθνεος τὸ Ἑλληνικὸν, ἐὸν καὶ δεξιώτερον, καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον—εἰ καὶ τότε γε οὗτοι ἐν Ἀθηναίοισι τοῖσι πρώτοισι λεγομένοισιν εἶναι Ἑλλήνων σοφίην μηχανῶνται τοιάδε. Ἐν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ, τῇ οὔνομα ἦν Φύη, μέγαθος* ἀπὸ τεσσέρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους, καὶ ἄλλως εὐειδής. Ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες, καὶ [10] προδέξαντες σχῆμα, οἷόν τι ἔμελλεν εὐπρεπέστατον φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον, ἐς

τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε, "Ὦ Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη, τιμήσασα ἀνθρώπων μάλιστα, κατάγει ἐς τὴν ἑωυτῆς ἀκρόπολιν." Οἱ μὲν δὴ ταῦτα, διαφοιτέοντες, ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς δήμους φάτις ἀπίκετο, ὡς Ἀθηναίη Πεισίστρατον κατάγει· καὶ οἱ ἐν τῷ ἄστεϊ πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον, καὶ ἐδέκοντο τὸν Πεισίστρατον.

I. 108.

ΚΥΡΟΣ.

Συνοικεούσης δὲ τῷ Καμβύσῃ τῆς Μανδάνης, ὁ Ἀστυάγης εἶδε ἄλλην ὄψιν. Ἐδόκεε δέ οἱ ἐκ τῆς θυγατρὸς φῦναι ἄμπελον· [1] τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν. Ἰδὼν δὲ τοῦτο, καὶ [2] ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, [3] μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα [4] ἐπίτεκα ἐοῦσαν· ἀπικομένην δὲ ἐφύλασσε, βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον, ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου. Ταῦτα δὴ ὦν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, καὶ πιστότατόν τε Μήδων καὶ πάντων ἐπίτροπον τῶν ἑωϋτοῦ, ἔλεγέ οἱ τοιάδε· "Ἅρπαγε, πρῆγμα, [5] τὸ ἄν τοι προσθέω, μηδαμᾶ παραχρήσῃ· μηδὲ ἐμέ τε παραβάλῃ, καὶ ἄλλους ἑλόμενος*, ἐξ ὑστέρης [6] σοὶ ἑωυτοῦ περιπέσῃς. [7] Λάβε τὸν Μανδάνη ἔτεκε παῖδα· φέρων δὲ [8] ἐς σεωϋτοῦ ἀπόκτεινον· μετὰ δὲ, θάψον τρόπῳ ὅτεῳ αὐτὸς βούλεαι." Ὁ δὲ ἀμείβεται, "Ὦ βασιλεῦ, οὔτε ἄλλοτέ κω παρεῖδες [9] ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν, φυλασσόμεθα δὲ ἔς σε, καὶ ἐς τὸν μετέπειτα χρόνον, μηδὲν ἐξαμαρτεῖν· ἀλλ' εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δὴ, [10] τό γε ἐμὸν, ὑπηρετέεσθαι ἐπιτηδέως."

[1] Τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὥς οἱ παρεδόθη τὸ παιδίον κεκοσμημένον [2] τὴν ἐπὶ θανάτῳ, ἤϊε κλαίων ἐς τὰ οἰκία· παρελθὼν δὲ, ἔφραζε τῇ ἑωυτοῦ γυναικὶ τὸν πάντα Ἀστυάγεος ῥηθέντα λόγον· ἡ δὲ πρὸς αὐτὸν λέγει, "Νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν;" Ὁ δὲ ἀμείβεται· "[3] Οὐκ ᾗ ἐνετέλλετο Ἀστυάγης. Οὐδ' εἰ παραφρονήσει "τε καὶ μανεῖται κακίον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε "προσθήσομαι τῇ γνώμῃ, οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετή-"σω. Πολλῶν δὲ εἵνεκα οὐ φονεύσω μιν· καὶ ὅτι αὐτῷ μοι "συγγενής ἐστιν ὁ παῖς, καὶ ὅτι Ἀστυάγης μέν ἐστι γέρων, "καὶ ἄπαις ἔρσενος γόνου· [4] εἰ δὲ θελήσει, τούτου τελευ-"τήσαντος, ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυ-"ραννὶς, ἧς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τι ἢ "λείπεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιστος; Ἀλλὰ, "τοῦ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ, δεῖ τοῦτον τελευτᾶν τὸν "παῖδα· δεῖ μέν τοι τῶν τινα Ἀστυάγεος αὐτοῦ φονέα "γενέσθαι, καὶ μὴ τῶν ἐμῶν."

Ταῦτα εἶπε, καὶ αὐτίκα ἄγγελον ἔπεμπε ἐπὶ τῶν βουκόλων τῶν Ἀστυάγεος, [5] τὸν ἠπίστατο νομάς τε ἐπιτηδεωτάτας νέμοντα, καὶ οὔρεα θηριωδέστατα, τῷ οὔνομα ἦν Μιτραδάτης. Συνοίκεε δὲ τῇ ἑωυτοῦ συνδούλῳ· οὔνομα δὲ τῇ γυναικὶ ἦν, τῇ συνοίκεε, Κυνὼ, κατὰ τὴν Ἑλλήνων γλῶσσαν· κατὰ δὲ τὴν Μηδικὴν, Σπακώ· τὴν γὰρ κύνα καλέουσι σπάκα Μῆδοι. [6] Αἱ δὲ ὑπώρεαί εἰσι τῶν οὐρέων, ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ βουκόλος, πρὸς [7] βορέω τε ἀνέμου τῶν Ἀγβατάνων, καὶ πρὸς τοῦ πόντου τοῦ Εὐξείνου· [8] ταύτῃ μὲν γὰρ ἡ Μηδικὴ χώρη, πρὸς Σασπείρων, ὀρεινή ἐστι κάρτα, καὶ ὑψηλή τε, καὶ [9] ἴδῃσι συνηρεφής· [10] ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ πᾶσα ἄπεδος. Ἐπεὶ ὦν ὁ βουκόλος σπουδῇ πολλῇ καλεόμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε, "Κελεύει σε Ἀστυάγης, τὸ "παιδίον τοῦτο λαβόντα, θεῖναι ἐς τὸ ἐρημότατον τῶν "οὐρέων, ὅκως ἂν τάχιστα διαφθαρείη· καὶ τάδε τοι ἐκέ-

" λευσε εἰπεῖν, Ἢν μὴ ἀποκτείνῃς αὐτὸ, ἀλλά τεῳ τρόπῳ
" περιποιήσῃ, ὀλέθρῳ τῷ κακίστῳ σε διαχρήσεσθαι· ἐπορᾷν
" δὲ ἐκκείμενον διατέταγμαι ἐγώ."

Ταῦτα ἀκούσας ὁ βουκόλος, καὶ ἀναλαβὼν τὸ παιδίον, ἤϊε τὴν αὐτὴν ὀπίσω ὁδὸν, καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν. [1]Τῷ δ᾽ ἄρα καὶ αὐτῷ ἡ γυνὴ, ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, τότε κως [2]κατὰ δαίμονα τίκτει, οἰχομένου τοῦ βουκόλου ἐς πόλιν· [3]ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τοῦ τόκου τῆς γυναικὸς, [4]ἀῤῥωδέων· ἡ δὲ γυνὴ, ὅτι, οὐκ ἐωθὼς, ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα. Ἐπεί τε δὲ ἀπονοστήσας [5]ἐπέστη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ, εἴρετο προτέρη, ὅ τι μιν οὕτω προθύμως Ἅρπαγος μεταπέμψαιτο. Ὁ δὲ εἶπε, "Ὦ γύναι, εἶδόν
" τε, ἐς πόλιν ἐλθὼν, καὶ ἤκουσα, [6]τὸ μήτε ἰδεῖν ὄφελον,
" μήτε κοτε γενέσθαι ἐς δεσπότεας τοὺς ἡμετέρους! Οἶ-
" κος μὲν πᾶς Ἁρπάγου κλαυθμῷ κατείχετο· ἐγὼ δὲ
" ἐκπλαγεὶς, ἤϊα ἔσω· ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω
" παιδίον προκείμενον, ἀσπαῖρόν τε καὶ κραυγανόμενον,
" κεκοσμημένον [7]χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπα-
" γος δὲ, ὡς εἶδέ με, ἐκέλευε, τὴν ταχίστην, ἀναλα-
" βόντα τὸ παιδίον, [8]οἴχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα
" [9]θηριωδέστατον εἴη τῶν οὔρεων, φὰς Ἀστυάγεα εἶναι
" τὸν ταῦτα ἐπιθεμενόν μοι· πόλλ᾽ ἀπειλήσας εἰ μή
" σφεα ποιήσαιμι. Καὶ ἐγὼ ἀναλαβὼν, ἔφερον, δοκέων
" τῶν τινος οἰκετέων εἶναι· οὐ γὰρ ἄν κοτε κατέδοξα
" ἔνθεν γε ἦν· ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι
" κεκοσμημένον· [10]πρὸς δὲ, καὶ κλαυθμὸν [11]κατεστεῶτα
" ἐμφανέα [12]ἐν Ἁρπάγου. Καὶ πρόκα τε δὴ, κατ᾽ ὁδὸν,
" πυνθάνομαι τὸν πάντα λόγον [13]θεράποντος, ὃς, ἐμὲ
" προπέμπων ἔξω πόλιος, ἐνεχείρισε τὸ βρέφος·—ὡς ἄρα
" Μανδάνης τε εἴη παῖς τῆς Ἀστυάγεος θυγατρὸς καὶ
" Καμβύσεω τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται
" ἀποκτεῖναι· [14]νῦν τε ὅδε ἐστί."

Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος, καὶ ἐκκαλύψας ἀπεδείκνυε. Ἡ δὲ, ὡς εἶδε τὸ παιδίον, μέγα τε καὶ εὐειδὲς ἐὸν, δακρύσασα, καὶ λαβομένη τῶν γουνάτων τοῦ ἀνδρὸς, ἔχρηζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν. Ὁ δὲ [1]οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἁρπάγου ἐποψομένους· ἀπολέεσθαί τε κάκιστα, ἢν μή σφεα ποιήσῃ. Ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε, "Ἐπεὶ τοίνυν οὐ δύναμαί "σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, [2]εἰ δὴ πᾶσά "γε ἀνάγκη ὀφθῆναι ἐκκείμενον· τέτοκα γὰρ καὶ ἐγώ· "τέτοκα δὲ [3]τεθνεός· τοῦτο μὲν φέρων πρόθες· τὸν δὲ "τῆς Ἀστυάγεος θυγατρὸς παῖδα, ὡς ἐξ ἡμέων ἐόντα, "τρέφωμεν· καὶ οὕτω, οὔτε σὺ [4]ἁλώσεαι ἀδικέων τοὺς "δεσπότεας, οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται· ὅ τε "γὰρ τεθνεὼς βασιληΐης ταφῆς κυρήσει, καὶ ὁ περιεὼν "οὐκ ἀπολέει τὴν ψυχήν."

Κάρτα τε ἔδοξε τῷ βουκόλῳ, πρὸς τὰ παρεόντα, εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα. Τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν [5]παραδιδοῖ τῇ ἑωυτοῦ γυναικί· τὸν δὲ ἑωυτοῦ ἐόντα νεκρὸν λαβὼν, ἔθηκε ἐς τὸ ἄγγος, ἐν τῷ ἔφερε τὸν ἕτερον· κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν ούρέων, [6]τιθεῖ. Ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἤϊε ἐς πόλιν ὁ βουκόλος, τῶν τινα προβόσκων φύλακον αὐτοῦ καταλιπών. Ἐλθὼν δὲ [7]ἐς τοῦ Ἁρπάγου, ἀποδεικνύναι [8]ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν νέκυν. Πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωυτοῦ δορυφόρων τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον· καὶ τὸ μὲν ἐτέθαπτο. Τὸν δὲ ὕστερον τούτων, ΚΥΡΟΝ ὀνομασθέντα, παραλαβοῦσα, ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο [9]κού τι, καὶ οὐ Κῦρον θεμένη.

[1] Ἐκ τῆς ΕΥΤΕΡΠΗΣ.

II. 2.

ΨΑΜΜΙΤΙΧΟΣ.

Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ ΨΑΜΜΙΤΙΧΟΝ [2] σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. Ἐπειδὴ δὲ Ψαμμίτιχος, βασιλεύσας, ἠθέλησε εἰδέναι οἵτινες [3] γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τῶν δὲ ἄλλων ἑωυτούς. Ψαμμίτιχος δὲ, ὡς οὐκ ἐδύνατο, πυνθανόμενος, πόρον οὐδένα τούτου ἀνευρεῖν, οἳ γενοίατο πρῶτοι ἀνθρώπων, [4] ἐπιτεχνᾶται τοιόνδε· παιδία δύο νεογνὰ [5] ἀνθρώπων τῶν ἐπιτυχόντων δίδωσι ποιμένι τρέφειν ἐς τὰ ποίμνια, [6] τροφήν τινα τοιήνδε· ἐντειλάμενος μηδένα ἀντίον αὐτῶν μηδεμίην φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ [7] ἐπ' ἑωυτῶν κέεσθαι αὐτὰ, καὶ, [8] τὴν ὥρην, ἐπαγινέειν σφι αἶγας· [9] πλήσαντα δὲ τοῦ γάλακτος, [10] τἄλλα διαπρήσσεσθαι. [11] Ταῦτα δ' ἐποιέετο καὶ ἐνετέλλετο ὁ Ψαμμίτιχος, θέλων ἀκοῦσαι τῶν παιδίων [12] ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην· τάπερ ὦν καὶ ἐγένετο· ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην, καὶ εἰσιόντι, τὰ παιδία ἀμφότερα, προσπίπτοντα, [13] ΒΕΚΟΣ ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. Τὰ μὲν δὴ πρῶτα ἀκούσας, ἥσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκι φοιτέοντι καὶ ἐπιμελομένῳ [14] πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ, ἤγαγε τὰ παιδία, [15] κελεύσαντος, ἐς ὄψιν τὴν ἐκείνου. Ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμίτιχος, ἐπυνθάνετο [16] οἵτινες ἀνθρώπων βεκός τι καλέουσι· πυνθανόμενος δὲ, εὕρισκε Φρύγας καλέοντας [17] τὸν ἄρτον. Οὕτω συνεχώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σταθμησάμενοι πρήγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν.

II. 68.

'Ο ΚΡΟΚΟΔΕΙΛΟΣ.

Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε. Τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν· ἐὸν δὲ τετράπουν, χερσαῖον καὶ λιμναῖόν ἐστι· τίκτει μὲν γὰρ ὠὰ ἐν γῇ, καὶ ἐκλέπει· καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ· θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. Πάντων δὲ, [1] τῶν ἡμεῖς ἴδμεν, θνητῶν, τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται· τὰ μὲν γὰρ ὠὰ χηνέων οὐ πολλῷ μέζονα τίκτει· καὶ ὁ νεοσσὸς κατὰ λόγον τοῦ ὠοῦ γίνεται· αὐξανόμενος δὲ, γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας, καὶ μέζων ἔτι· ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑὸς, ὀδόντας δὲ μεγάλους καὶ [2] χαυλιόδοντας, κατὰ λόγον τοῦ σώματος· γλῶσσαν δὲ μοῦνον θηρίων [3] οὐκ ἔφυσε· οὐδὲ τὴν κάτω κινέει γνάθον, ἀλλὰ καὶ τοῦτο, μοῦνον θηρίων, τὴν ἄνω γνάθον προσάγει τῇ κάτω· ἔχει δὲ καὶ ὄνυχας καρτεροὺς, καὶ [4] δέρμα λεπιδωτὸν ἄῤῥηκτον ἐπὶ τοῦ νώτου· τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον· [5] ἅτε δὴ ὧν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. Τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν· ὁ δὲ τροχῖλος εἰρηναῖόν οἱ ἐστὶ, ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ· ἐπεὰν γὰρ ἐς τὴν γῆν [6] ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος, καὶ ἔπειτα χάνῃ,—ἔωθε γὰρ τοῦτο, ὡς ἐπίπαν, ποιέειν πρὸς τὸν ζέφυρον,—ἐνθαῦτα ὁ τροχῖλος, ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ, καταπίνει τὰς βδέλλας· ὁ δὲ, ὠφελεύμενος ἥδεται, καὶ οὐδὲν σίνεται τὸν τροχῖλον.

Τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δ' οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι· οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες καὶ κάρτα ἥγηνται αὐτοὺς εἶναι ἱρούς· ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κρο-

κόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα· [1] ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες, καὶ ἀμφιδέας περὶ τοὺς προσθίους πόδας, καὶ [2] σιτία ἀποτακτὰ διδόντες, καὶ ἱρήϊα, [3] καὶ περιέποντες ὡς κάλλιστα ζώοντας. ἀποθανόντας δὲ ταριχεύοντες, θάπτουσι ἐν ἱρῇσι θήκῃσι. Οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες, καὶ ἐσθίουσι αὐτοὺς, οὐκ ἡγεόμενοι ἱροὺς εἶναι· καλέονται δὲ οὐ Κροκόδειλοι, ἀλλὰ Χάμψαι. Κροκοδείλους δὲ Ἴωνες ὠνόμασαν, εἰκάζοντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ σφίσι γινομένοισι κροκοδείλοισι τοῖσι ἐν τῇσι αἱμασιῇσι.

[4] Ἄγραι δέ σφεων πολλαὶ κατεστέασι, καὶ παντοῖαι. Ἡ δ' ὦν ἐμοίγε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω. [5] Ἐπεὰν νῶτον ὑὸς δελεάσῃ περὶ ἄγκιστρον, μετίει ἐς μέσον τὸν ποταμόν· αὐτὸς δὲ, ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ, ἔχων δέλφακα ζωὴν, ταύτην τύπτει· ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος, ἵεται κατὰ τὴν φωνήν· ἐντυχὼν δὲ τῷ νώτῳ, καταπίνει· οἱ δὲ ἕλκουσι. Ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς [6] πηλῷ κατ' ὦν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς· τοῦτο δὲ ποιήσας, κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται· μὴ ποιήσας δὲ τοῦτο, σὺν πόνῳ.

[7] Ἐκ τῆς ΕΡΑΤΟΥΣ.

VI. 109.

Ἡ ἐν ΜΑΡΑΘΩΝΙ μάχη.

Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶμαι· τῶν μὲν οὐκ ἐώντων συμβάλλειν·—ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν·—[8] τῶν δὲ, καὶ Μιλτιάδεω, κελευόντων. Ὡς δὲ δίχα τε ἐγίνοντο, καὶ [9] ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, [10] ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν·—τὸ παλαιὸν γὰρ

τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες, ἐδίωκον ἐς τὴν μεσόγαιαν. Τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες· νικῶντες δὲ, [1] τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτέων, συναγαγόντες τὰ κέρεα ἀμφότερα, ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι· φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὅ, ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι, πῦρ τε αἴτεον, καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

[2] Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· [3] ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ, Κυνέγειρος* ὁ Εὐφορίωνος, ἐνθαῦτα, ἐπιλαβόμενος τῶν ἀφλάστων νηὸς, [4] τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Ἀθηναίων πολλοί τε καὶ ὀνομαστοί· . . . . Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας· Ἀθηναίων δὲ, ἑκατὸν ἐννενήκοντα καὶ δύο. Ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι.

[5] Ἐκ τῆς ΠΟΛΥΜΝΙΑΣ.

VII. 10.

ΑΡΤΑΒΑΝΟΣ καὶ ΞΕΡΞΗΣ.

Μαρδόνιος μὲν, τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην, ἐπέπαυτο.—Σιωπώντων δὲ τῶν ἄλλων Περσέων, καὶ οὐ τολμώντων [6] γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος, πάτρως ἐὼν Ξέρξῃ, [7] τῷ δὴ καὶ πίσυνος ἐὼν, ἔλεγε τάδε, "Ὦ βασιλεῦ, [8] μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων ἀλλήλῃσι, οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρέεσθαι· λεχθεισέων δὲ, ἔστι· ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον, αὐτὸν μὲν ἐπ' ἑωυτοῦ οὐ διαγινώσκομεν, ἐπεὰν

" δὲ παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν
" ἀμείνω. Ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ,
" Δαρείῳ, ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄν-
" δρας οὐδαμόθι γῆς ἄστυ νέμοντας. Ὁ δὲ, ἐλπίζων
" Σκύθας τοὺς Νομάδας καταστρέψεσθαι, ἐμοί τε οὐκ
" ἐπείθετο, στρατευσάμενός τε, πολλούς τε καὶ ἀγαθοὺς
" τῆς στρατιῆς ἀποβαλὼν ἀπῆλθε. Σὺ δὲ, ὦ βασιλεῦ,
" μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἀμείνονας ἢ
" Σκύθας· οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν
" λέγονται εἶναι. Τὸ δὲ αὐτοῖσι ἔνεστι δεινὸν, ἐμέ σοι
" δίκαιόν ἐστι φράζειν. Ζεύξας φὴς τὸν Ἑλλήσποντον,
" ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα· [1]καὶ
" δὴ συνήνεικε, ἤ τοι κατὰ γῆν, ἢ καὶ κατὰ θάλασσαν,
" ἑσσωθῆναι, ἢ καὶ κατ' ἀμφότερα·—οἱ γὰρ ἄνδρες λέ-
" γονται εἶναι ἄλκιμοι·—πάρεστι δὲ καὶ σταθμώσασθαι,
" εἰ στρατιήν γε τοσαύτην σὺν Δάτι καὶ Ἀρταφέρνεϊ, ἐλ-
" θοῦσαν ἐς τὴν Ἀττικὴν χώρην, μοῦνοι Ἀθηναῖοι διέφθει-
" ραν, [2]οὐκ ὦν ἀμφοτέρῃ σφι ἐχώρησε. Ἀλλ' ἢν τῇσι
" νηυσὶ [3]ἐμβάλωσι, καὶ νικήσαντες ναυμαχίῃ, πλέωσι ἐς
" τὸν Ἑλλήσποντον, καὶ ἔπειτα λύσωσι τὴν γέφυραν,
" τοῦτο δὴ, βασιλεῦ, γίνεται δεινόν. Ἐγὼ δὲ οὐδεμιῇ
" [4]σοφίῃ οἰκηΐῃ αὐτὸς συμβάλλομαι ταῦτα· [5]ἀλλ' οἷόν
" κοτε ἡμέας ὀλίγου ἐδέησε καταλαβεῖν πάθος, ὅτε πατὴρ
" σὸς, ζεύξας Βόσπορον τὸν Θρηΐκιον, γεφυρώσας δὲ ποτα-
" μὸν Ἴστρον, διέβη ἐπὶ Σκύθας· τότε [6]παντοῖοι ἐγένοντο
" Σκύθαι, [7]δεόμενοι Ἰώνων, λῦσαι τὸν πόρον, τοῖσι ἐπιτέ-
" τραπτο ἡ φυλακὴ τῶν γεφυρέων τοῦ Ἴστρου. Καὶ τότε
" γε Ἱστιαῖος, ὁ Μιλήτου τύραννος, εἰ [8]ἐπέσπετο τῶν ἄλ-
" λων τυράννων τῇ γνώμῃ, μηδὲ ἠναντιώθη, [9]διέργαστο ἂν
" τὰ Περσέων πρήγματα. καί τοι καὶ λόγῳ ἀκοῦσαι
" δεινὸν, [10]ἐπ' ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα
" γεγενῆσθαι. Σὺ ὦν μὴ βούλευ ἐς κίνδυνον μηδένα

“ τοιοῦτον ἀπικέσθαι, μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλ’
“ ἐμοὶ πείθευ. Νῦν μὲν τὸν σύλλογον τόνδε διάλυσον·
“ αὖτις δὲ, ὅταν τοι δοκέῃ, προσκεψάμενος ἐπὶ σεωυτοῦ,
“ προαγόρευε τά τοι δοκέει εἶναι ἄριστα· τὸ γὰρ εὖ
“ βουλεύεσθαι, κέρδος μέγιστον εὑρίσκω ἐόν. Εἰ γὰρ καὶ
“ ἐναντιωθῆναί τι θέλει, βεβούλευται μὲν οὐδὲν ἧσσον εὖ,
“ [1]ἕσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευ-
“ σάμενος αἰσχρῶς, εἴ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕ-
“ ρηκε, ἧσσον δὲ οὐδέν οἱ κακῶς βεβούλευται. Ὁρᾷς τὰ
“ ὑπερέχοντα ζῶα ὡς κεραυνοῖ ὁ θεὸς, οὐδὲ ἐᾷ φαντάζεσθαι,
“ τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει; ὁρᾷς δὲ ὡς ἐς οἰκήματα
“ τὰ μέγιστα αἰεὶ, καὶ δένδρεα τὰ τοιαῦτ’ ἀποσκήπτει
“ βέλεα; φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν.
“ Οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται,
“ κατὰ τοιόνδε· ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ,
“ ἢ βροντὴν, [2]δι’ ὧν ἐσφάλησαν ἀναξίως ἑωυτῶν. Οὐ γὰρ
“ ἐᾷ φρονέειν ἄλλον μέγα ὁ θεὸς ἢ ἑωυτόν. [3]Ἐπειχθῆναι
“ μέν νυν πᾶν πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι
“ μεγάλαι [4]φιλέουσι γίνεσθαι· ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι
“ ἀγαθὰ, εἰ μὴ παραυτίκα δοκέοντα εἶναι, ἀλλ’ ἀνὰ
“ χρόνον ἐξεύροι τις ἄν. Σοὶ μὲν δὴ ταῦτα, ὦ βασιλεῦ,
“ συμβουλεύω. Σὺ δὲ, ὦ παῖ Γωβρύεω Μαρδόνιε, παῦσαι
“ λέγων λόγους ματαίους περὶ Ἑλλήνων οὐκ ἐόντων ἀξίων
“ [5]φλαύρως ἀκούειν· Ἕλληνας γὰρ διαβάλλων ἐπαίρεις
“ αὐτὸν βασιλῆα στρατεύεσθαι. Αὐτοῦ δὲ τούτου εἵνεκα
“ δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν. Μή νυν οὕτω
“ γένηται. Διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν
“ εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. Ὁ μὲν γὰρ
“ διαβάλλων ἀδικέει, οὐ παρεόντος κατηγορέων· ὁ δὲ ἀδι-
“ κέει, ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ
“ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς
“ τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς

" εἶναι. Ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους
" στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν ἤθεσι τοῖσι
" Περσέων μενέτω· ἡμέων δὲ ἀμφοτέρων παραβαλλομένων
" τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ, ἐπιλεξάμενός τε
" ἄνδρας τοὺς ἐθέλεις, καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ
" βούλεαι. Καὶ ἢν μὲν, [1]τῇ σὺ λέγεις, ἀναβαίνῃ βασι-
" λέϊ τὰ πρήγματα, [2]κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ
" αὐτοῖσι καὶ ἐγώ· ἢν δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα
" [3]πασχόντων, σὺν δέ σφι καὶ σὺ, ἢν ἀπονοστήσῃς. Εἰ δὲ
" ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στρά-
" τευμα ἀνάξεις ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινα φημὶ
" τῶν αὐτοῦ τῇδε ὑπολειπομένων, Μαρδόνιον, μέγα τι
" κακὸν ἐξεργασάμενον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων
" διαφορεύμενον, ἤ κου ἐν γῇ τῇ Ἀθηναίων, [4]ἤ σέ γε ἐν
" τῇ Λακεδαιμονίων· εἰ μὴ ἄρα καὶ πρότερον κατ' ὁδὸν,
" γνόντα ἐπ' οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι
" βασιλῆα."

Ἀρτάβανος μὲν ταῦτα ἔλεξε. Ξέρξης δὲ θυμωθεὶς
ἀμείβεται τοῖσδε, " Ἀρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελ-
" φεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν
" ἐπέων ματαίων· καί τοι ταύτην τὴν ἀτιμίην προστίθη-
" μι, ἐόντι κακῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι
" ἐμοί γε ἐπὶ τὴν Ἑλλάδα, αὐτοῦ τε μένειν ἅμα τῇσι
" γυναιξί. Ἐγὼ δὲ, καὶ ἄνευ σέο, ὅσαπερ εἶπα, ἐπιτε-
" λέα ποιήσω· μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος,
" τοῦ Ἀρσάμεος, τοῦ Ἀριαράμνεω, τοῦ Τεΐσπεος, τοῦ
" Κύρου, τοῦ Καμβύσεω, τοῦ Τεΐσπεος, τοῦ Ἀχαιμένεος
" γεγονὼς, μὴ τιμωρησάμενος Ἀθηναίους· εὖ ἐπιστάμενος
" ὅτι εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ
" μάλα στρατεύσονται ἐπὶ τὴν [5]ἡμετέρην, [6]εἰ χρὴ σταθ-
" μώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις
" τε ἐνέπρησαν, καὶ [7]ἤλασαν ἐς τὴν Ἀσίην. Οὐκ ὧν
" ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν

"ἢ παθέειν προκέεται ἀγών· ἵνα ἢ τάδε πάντα ὑπὸ "Ἕλλησι, ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ "μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. Καλὸν ὦν προπεπονθότας "ἡμέας τιμωρέειν ἤδη γίνεται, [1] ἵνα καὶ τὸ δεινὸν, τὸ "πείσομαι, τοῦτο μάθω, ἐλάσας ἐπ' ἄνδρας τούτους, "τούς γε καὶ Πέλοψ ὁ Φρὺξ, ἐὼν πατέρων τῶν ἐμῶν "δοῦλος, κατεστρέψατο οὕτω, ὡς, καὶ [2] ἐς τόδε, αὐτοί "τε ὤνθρωποι, καὶ ἡ γῆ αὐτέων, ἐπώνυμοι τοῦ κατα"στρεψαμένου καλέονται." Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο.

Μετὰ δὲ, εὐφρόνη τε ἐγίνετο, καὶ Ξέρξεα ἔκνιζε ἡ Ἀρταβάνου γνώμη. [3] Νυκτὶ δὲ βουλὴν διδοὺς, πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα.

VII. 44.

ΞΕΡΞΗΣ καὶ ἈΡΤΑΒΑΝΟΣ ἐν ἈΒΥΔΩ.

Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατὸν, καὶ,—προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ, ἐπίτηδες αὐτῷ [4] ταύτῃ προεξέδρη λίθου λευκοῦ· ἐποίησαν δὲ Ἀβυδηνοὶ, ἐντειλαμένου πρότερον βασιλῆος—ἐνθαῦτα, ὡς ἵζετο κατορῶν ἐπὶ τῆς ἠϊόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας· θηεύμενος δὲ, ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι. Ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ.

Ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα Ξέρξης ἑωυτὸν ἐμακάρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε.

Μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως,—ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα,—οὗτος ὡνὴρ, [5] φρασθεὶς Ξέρξεα δακρύσαντα, εἴρετο τάδε, "Ὦ βασιλεῦ, ὡς πολὺ

" ἀλλήλων κεχωρισμένα ἐργάσαο, νῦν τε καὶ ὀλίγῳ " πρότερον· μακαρίσας γὰρ σεωυτὸν, δακρύεις." Ὁ δὲ εἶπε, " Ἐσῆλθε γάρ με, λογισάμενον, κατοικτεῖραι, " ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τουτέων γε, " ἐόντων τοσούτων, οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται." Ὁ δὲ ἀμείβετο λέγων, " Ἕτερα τούτου, παρὰ τὴν ζόην, " πεπόνθαμεν οἰκτρότερα· ἐν γὰρ οὕτω βραχέϊ βίῳ [1] οὐ- " δεὶς οὕτω, ἄνθρωπος ἐὼν, εὐδαίμων πέφυκε, οὔτε τουτέων, " οὔτε τῶν ἄλλων, [2] τῷ οὐ παραστήσεται πολλάκις, καὶ " οὐκὶ ἅπαξ, [3] τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ " τε γὰρ συμφοραὶ προσπίπτουσαι, καὶ αἱ νοῦσοι συντα- " ράσσουσαι, καὶ βραχὺν ἐόντα, μακρὸν δοκέειν εἶναι " ποιεῦσι τὸν βίον. Οὕτω ὁ μὲν θάνατος, μοχθηρῆς " ἐούσης τῆς ζόης, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ " [4] γέγονε· ὁ δὲ θεὸς, [5] γλυκὺν γεύσας τὸν αἰῶνα, " φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών."

Ξέρξης δὲ ἀμείβετο λέγων, " Ἀρτάβανε, βιοτῆς μέν " νυν ἀνθρωπηΐης πέρι, ἐούσης τοιαύτης οἵην περ σὺ [6] δι- " αιρέεαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν [7] μεμνεώμεθα, " χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί·—Φράσον δέ μοι " τόδε, εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω [8] ἐφάνη, " εἶχες ἂν τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρα- " τεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, [9] ἢ μετέστης ἄν; [10] φέρε " μοι τοῦτο ἀτρεκέως εἰπέ." Ὁ δὲ ἀμείβετο λέγων " Ὦ βασιλεῦ, ὄψις μὲν ἡ ἀποφανεῖσα τοῦ ὀνείρου, ὡς " βουλόμεθα ἀμφότεροι [11] τελευτήσειε· ἐγὼ δ' ἔτι καὶ " ἐς τόδε δείματός εἰμι ὑπόπλεος, οὐδ' ἐντὸς ἐμεωυτοῦ·* " ἄλλα τε πολλὰ ἐπιλεγόμενος, καὶ δὴ καὶ ὁρέων τοι " δύο τὰ μέγιστα πάντων ἐόντα πολεμιώτατα."

Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοῖσδε, " [12] Δαι- " μόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις μοι εἶναι δύο πολε- " μιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ τὸ πλῆ-

“ θός ἐστι, καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλα-
“ πλήσιον ἔσεσθαι τοῦ ἡμετέρου; ἢ τὸ ναυτικὸν τὸ
“ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων; ἢ καὶ συναμφότερα
“ ταῦτα; εἰ γάρ τοι ταύτῃ ἐνδεέστερα φαίνεται εἶναι
“ τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν
“ ταχίστην ἄγερσιν ποιοῖτο.”

Ὁ δ' ἀμείβετο λέγων, “ Ὦ βασιλεῦ, [1] οὔτε στρατὸν
“ τοῦτον, ὅστις γε σύνεσιν ἔχει, μέμφοιτ' ἄν, οὔτε τῶν
“ νεῶν τὸ πλῆθος· ἢν δὲ πλεῦνας συλλέξῃς, τὰ δύο τοι
“ τὰ λέγω, πολλῷ ἔτι πολεμιώτερα γίνεται· τὰ δὲ δύο
“ ταῦτα ἐστι γῆ τε καὶ θάλασσα· οὔτε γὰρ τῆς θαλάσ-
“ σης ἐστι λιμὴν τοσοῦτος οὐδαμόθι—ὡς ἐγὼ εἰκάζω—
“ ὅστις, ἐγειρομένου χειμῶνος, δεξάμενός σευ τοῦτο τὸ
“ ναυτικὸν, φερέγγυος ἔσται διασῶσαι τὰς νέας. Καί
“ τοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ
“ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν δὴ κομίεαι. [2] Οὐκ ὦν δὴ
“ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε, ὅτι αἱ συμφοραὶ
“ [3] τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐκὶ ὥνθρωποι τῶν συμ-
“ φορέων. Καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου, τὸ
“ ἕτερον ἔρχομαι ἐρέων. Γῆ δὲ πολεμίη [4] τῇδέ τοι κατ-
“ ίσταται· εἰ [5] ἐθέλοι τοὶ μηδὲν ἀντίξοον καταστῆναι,
“ τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνῃς
“ ἑκαστέρω, [6] τὸ πρόσω αἰεὶ κλεπτόμενος· εὐπρηξίης γὰρ
“ οὐκ ἔστι ἀνθρώποισι οὐδεμίη πληθώρη. Καὶ δή τοι ὡς
“ οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώρην, πλεῦνα ἐν πλεῦνι
“ χρόνῳ γινομένην, λιμὸν τέξεσθαι. Ἀνὴρ δὲ οὕτω ἂν
“ εἴη ἄριστος, εἰ βουλευόμενος μὲν, ἀρρωδέοι, [7] πᾶν ἐπι-
“ λεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς
“ εἴη.”

Ἀμείβεται Ξέρξης τοῖσδε, “ Ἀρτάβανε, εἰκότως μὲν
“ σύ γε τουτέων ἕκαστα διαιρέεαι· ἀτὰρ μήτε πάντα
“ φοβέο, μήτε πᾶν ὁμοίως ἐπιλέγεο· [8] εἰ γὰρ δὴ βούλοιο,

" ἐπὶ τῷ αἰεὶ ἐπεσφερομένῳ πρήγματι, τὸ πᾶν ὁμοίως
" ἐπιλέγεσθαι, [1] ποιήσειας ἂν οὐδαμᾶ οὐδέν. Κρέσσον δὲ,
" πάντα θαρσέοντα, ἥμισυ τῶν δεινῶν πάσχειν μᾶλλον, ἢ
" πᾶν χρῆμα προδειμαίνοντα, μηδαμᾶ μηδὲν παθέειν.
" [2] Εἰ δὲ ἐρίζων πρὸς πᾶν τὸ λεγόμενον, μὴ τὸ βέβαιον
" ἀποδέξεις, σφάλλεσθαι ὀφείλεις ἐν αὐτοῖσι, ὁμοίως καὶ
" ὁ ὑπεναντία τούτοισι λέξας. Τοῦτο μέν νυν ἐπίσης ἔχει·
" εἰδέναι δὲ, ἄνθρωπον ἐόντα, ὅκως χρὴ τὸ βέβαιον, δοκέω
" μὲν οὐδαμῶς. [3] Τοῖσι τοίνυν βουλομένοισι ποιέειν, ὡς τὸ
" ἐπίπαν φιλέει γίνεσθαι τὰ κέρδεα· τοῖσι δὲ ἐπιλεγο-
" μένοισί τε πάντα καὶ ὀκνεῦσι, οὐ μάλα ἐθέλει. Ὁρᾷς
" τὰ Περσέων πρήγματα, [4] ἐς ὃ δυνάμιος προκεχώρηκε;
" εἰ τοίνυν ἐκεῖνοι, οἱ πρὸ ἐμεῦ γενόμενοι, βασιλῆες γνώ-
" μησι ἐχρέοντο ὁμοίῃσι καὶ σὺ, ἢ, μὴ χρεόμενοι γνώ-
" μησι τοιαύτῃσι, ἄλλους συμβούλους εἶχον τοιούτους, οὐκ
" ἄν κοτε εἶδες αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ, κινδύ-
" νους ἀναῤῥιπτέοντες, [5] ἐς τοῦτό σφεα προηγάγοντο·
" μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι [6] ἐθέλει
" καταιρέεσθαι. Ἡμεῖς τοίνυν, ὁμοιεύμενοι κείνοισι, ὥρην
" τε τοῦ ἔτεος καλλίστην πορευόμεθα, καὶ καταστρεψά-
" μενοι πᾶσαν τὴν Εὐρώπην, νοστήσομεν ὀπίσω, οὔτε
" λιμῷ ἐντυχόντες οὐδαμόθι, οὔτε ἄλλο ἄχαρι οὐδὲν
" παθόντες. [7] τοῦτο μὲν γὰρ, αὐτοὶ πολλὴν φορβὴν
" φερόμενοι πορευόμεθα· τοῦτο δὲ, τῶν ἄν κου [8] ἐπιβέωμεν
" γῆν καὶ ἔθνος, τούτων τὸν σῖτον ἕξομεν· ἐπ' ἀροτῆρας
" δὲ, καὶ οὐ νομάδας, στρατευόμεθα, ἄνδρας."

Λέγει Ἀρτάβανος μετὰ ταῦτα, "Ὦ βασιλεῦ, ἐπεί
" τε ἀῤῥωδέειν οὐδὲν ἐᾷς πρῆγμα, σὺ δέ μευ συμβου-
" λίην ἔνδεξαι· [9] ἀναγκαίως γὰρ ἔχει, περὶ πολλῶν
" πρηγμάτων, πλεῦνα λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμ-
" βύσεω Ἰωνίην πᾶσαν, πλὴν Ἀθηναίων, κατεστρέψατο
" δασμοφόρον εἶναι Πέρσῃσι· τούτους ὦν τοὺς ἄνδρας συμ-
" βουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς πατέρας·

" καὶ γὰρ, ἄνευ τουτέων, [1] οἷοί τε εἰμὲν τῶν ἐχθρῶν κατ-
" υπέρτεροι γίνεσθαι· ἢ γὰρ σφέας, ἢν ἕπωνται, δεῖ ἀδι-
" κωτάτους γίνεσθαι, καταδουλουμένους τὴν μητρόπολιν,
" ἢ δικαιοτάτους, συνελευθεροῦντας. Ἀδικώτατοι μέν
" νυν γινόμενοι, οὐδὲν κέρδος μέγα ἡμῖν προσβάλλουσι·
" δικαιότατοι δὲ γινόμενοι, οἷοί τε δηλήσασθαι μεγάλως
" τὴν σὴν στρατιὴν γίνονται. [2] Ἐς θυμὸν ὦν βαλεῦ καὶ
" τὸ παλαιὸν ἔπος, ὡς εὖ εἴρηται, τὸ μὴ ἅμα ἀρχῇ
" πᾶν τέλος καταφαίνεσθαι."

Ἀμείβεται πρὸς ταῦτα Ξέρξης, "Ἀρτάβανε, [3] τῶν
" ἀπεφήναο γνωμέων σφάλλεαι κατὰ ταύτην δὴ μά-
" λιστα, ὃς Ἴωνας φοβέαι, μὴ μεταβάλλωσι· [4] τῶν ἔχο-
" μεν γνῶμα μέγιστον, τῶν σύ τε μάρτυς γίνεαι, καὶ οἱ
" συστρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι [5] ἐπὶ
" τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι
" καὶ περιποιῆσαι· οἱ δὲ δικαιοσύνην καὶ πιστότητα ἐνέ-
" δωκαν, ἄχαρι δὲ οὐδέν· πάρεξ δὲ τούτου, ἐν τῇ ἡμετέρῃ
" καταλιπόντας τέκνα τε καὶ γυναῖκας καὶ χρήματα,
" οὐδ᾽ ἐπιλέγεσθαι χρὴ νεώτερόν τι ποιήσειν. Οὕτω μηδὲ
" τοῦτο φοβέο, ἀλλὰ θυμὸν ἔχων ἀγαθὸν, σῷζε οἶκόν
" τε τὸν ἐμὸν, καὶ τυραννίδα τὴν ἐμήν· σοὶ γὰρ ἐγὼ
" μούνῳ ἐκ πάντων σκῆπτρα τὰ ἐμὰ ἐπιτράπω."

II.

[1] Ex THUCYDIDE.

[Ad Edit. Car. And. Dukeri. Amstel. 1731. Fol.]

Densus et brevis, et semper instans sibi Thucydides.
Quinct. X. 1.

Ἐκ τοῦ τῆς ΞΥΓΓΡΑΦΗΣ πρώτου.

I. 5.

[3] Περὶ τῶν πάλαι ἙΛΛΗΝΩΝ.

Οἱ μὲν Ἕλληνες τὸ πάλαι, [4] καὶ τῶν βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι, καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο [5] μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους, [6] ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, [7] κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις, [8] καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον, καὶ [9] τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο· οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, [10] οἷς κόσμος καλῶς τοῦτο δρᾷν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν, [11] τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν· [12] ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. Ἐλῃΐζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους· καὶ [13] μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος

τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας, καὶ Αἰτωλοὺς, καὶ Ἀκαρνᾶνας, καὶ ʻτὴν ταύτῃ ἤπειρον' [2] τό τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε.

Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀφράκτους τε οἰκήσεις, καὶ οὐκ ἀσφαλεῖς παρ' ἀλλήλους ἐφόδους· [3] καὶ ξυνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι. Σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα, τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. [4] Ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ, [5] ἀνειμένῃ τῇ διαίτῃ, ἐς τὸ τρυφερώτερον μετέστησαν. [6] καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων, διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. [7] ἀφ' οὗ καὶ Ἰώνων τοὺς πρεσβυτέρους, κατὰ τὸ ξυγγενὲς, ἐπιπολὺ αὕτη ἡ σκευὴ κατέσχε. Μετρίᾳ δ' αὖ ἐσθῆτι, [8] καὶ ἐς τὸν νῦν τρόπον, πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο, καὶ ἐς τὰ ἄλλα, [9] πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι ἰσοδίαιτοι μάλιστα κατέστησαν. Ἐγυμνώθησάν τε πρῶτοι, καὶ ἐς τὸ φανερὸν ἀποδύντες, [10] λίπα, μετὰ τοῦ γυμνάζεσθαι, ἠλείψαντο. Τὸ δὲ πάλαι, καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι, διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα, οἱ ἀθληταὶ ἠγωνίζοντο· καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. Ἔτι δὲ [11] καὶ ἐν τοῖς βαρβάροις ἔστιν οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωσμένοι τοῦτο δρῶσι. Πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον.

Τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν, [12] καὶ ἤδη πλωϊμωτέρων ὄντων, περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο, καὶ τοὺς ἰσθ-

μοὺς ἀπελάμβανον, [1]ἐμπορίας τε ἕνεκα, καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος· αἱ δὲ παλαιαὶ, διὰ τὴν λῃστείαν [2]ἐπιπολὺ ἀντισχοῦσαι, ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις·——[3]ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι, ὄντες οὐ θαλάσσιοι, κάτω ᾤκουν·—καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμέναι εἰσί.

Καὶ [4]οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες· οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν. Μαρτύριον δέ· [5]Δήλου γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφανήσαν, γνωσθέντες τῇ τε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ, καὶ τῷ τρόπῳ ᾧ νῦν ἔτι θάπτουσι. Καταστάντος δὲ τοῦ [6]Μίνω ναυτικοῦ, [7]πλωϊμώτερα ἐγένετο παρ' ἀλλήλους· οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. Καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι, βεβαιότερον ᾤκουν· καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς [8]πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι· ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵ τε ἥσσους ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν, οἵ τε δυνατώτεροι, περιουσίας ἔχοντες, προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. Καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὑστέρῳ χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν.

I. 128.

[9]Η ΠΑΥΣΑΝΙΟΥ τοῦ Λακεδαιμονίου αἰτία καὶ θάνατος.

Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος, τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ, καὶ κριθεὶς ὑπ' αὐτῶν, [10]ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς [11]τρι-

ἤρη λαβὼν Ἑρμιονίδα, ἄνευ Λακεδαιμονίων, ἀφικνεῖται ἐς Ἑλλήσποντον, τῷ μὲν λόγῳ, ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ, τὰ πρὸς βασιλέα πράγματα βουλόμενος πράσσειν· ὥσπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. [1]Εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο, καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο· Βυζάντιον γὰρ ἑλὼν, τῇ προτέρᾳ παρουσίᾳ, μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν,—εἶχον δὲ Μῆδοι αὐτὸ, καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς, [2]οἳ ἑάλωσαν ἐν αὐτῷ,—τότε τούτους οὓς ἔλαβεν ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων· [3]τῷ δὲ λόγῳ, ἀπέδρασαν αὐτόν. Ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους· ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε καὶ ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη.

" Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης [4]τούσδε τέ σοι
" χαρίζεσθαι βουλόμενος ἀποπέμπει, δορὶ ἑλών· καὶ
" γνώμην ποιοῦμαι, εἰ καί σοι δοκεῖ, θυγατέρα τε τὴν
" σὴν γῆμαι, καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλ-
" λάδα ὑποχείριον ποιῆσαι· δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα
" πρᾶξαι, μετὰ σοῦ βουλευόμενος. Εἰ οὖν τι σὲ τούτων
" ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν, δι' οὗ
" τολοιπὸν τοὺς λόγους ποιησόμεθα."

Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ, καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε [5]Δασκυλῖτιν σατραπείαν παραλαβεῖν, Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχε· καὶ παρὰ Παυσανίαν, ἐς Βυζάντιον, [6]ἐπιστολὴν ἀντεπετίθει αὐτῷ, ὡς τάχιστα διαπέμψαι, καὶ τὴν σφραγῖδα ἀποδεῖξαι· καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν

ὡς ἄριστα καὶ πιστότατα. Ὁ δὲ ἀφικόμενος, τά τε ἄλλα ἐποίησεν ὥσπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν· ἀντεγέγραπτο δὲ τάδε.

"Ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ. Καὶ "[1] τῶν ἀνδρῶν, οὕς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου "διέσωσας, κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ "ἐς ἀεὶ ἀνάγραπτος, καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέ-"σκομαι· καί σε μήτε νὺξ, μήθ' ἡμέρα ἐπισχέτω, ὥστε "ἀνεῖναι πράσσειν τὶ ὧν ἐμοὶ ὑπισχνῆ· μηδὲ χρυσοῦ καὶ "ἀργύρου δαπάνῃ κεκωλύσθω, μηδὲ στρατιᾶς πλήθει, "[2] εἴ ποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου, ἀν-"δρὸς ἀγαθοῦ, ὅν σοι ἔπεμψα, πράσσε θαρσῶν καὶ τὰ "ἐμὰ καὶ τὰ σὰ, ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει "ἀμφοτέροις."

Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὢν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν [3] Πλαταιάσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο, καὶ οὐκέτι ἠδύνατο [4] ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν· ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος, ἐκ τοῦ Βυζαντίου ἐξῄει, καὶ διὰ τῆς Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν· τράπεζάν τε Περσικὴν [5] παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προυδήλου ἃ τῇ γνώμῃ μειζόνως ἐς ἔπειτα ἔμελλε πράξειν· δυσπρόσοδόν τε αὐτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέναι. Διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους [6] οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη.

Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι, τό τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτὸν, καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηῒ τὸ δεύτερον ἐκπλεύσας, οὐ κελευσάντων αὐτῶν, τοιαῦτα ἐφαίνετο ποιῶν· καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθεὶς, ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώ-

ρει, ἐς δὲ Κολωνὰς τὰς Τρωϊάδας ἱδρυθεὶς, πράσσων τε ἐσηγγέλλετο αὐτοῖς ἐς τοὺς βαρβάρους, καὶ οὐκ [1] ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος. Οὕτω δὴ οὐκ ἔτι [2] ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ Ἔφοροι, καὶ [3] σκυτάλην, εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι· εἰ δὲ μὴ, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. Ὁ δὲ, βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν, ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. Καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει, τὸ πρῶτον, ὑπὸ τῶν Ἐφόρων·—ἔξεστι δὲ τοῖς Ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο·—ἔπειτα διαπραξάμενος, ὕστερον ἐξῆλθε, [4] καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτῶν ἐλέγχειν.

Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ, οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα, καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα· Πλείσταρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι, ἀνεψιὸς ὢν, ἐπετρόπευεν. Ὑποψίας δὲ πολλὰς παρεῖχε, τῇ τε παρανομίᾳ, καὶ ζηλώσει τῶν βαρβάρων, [5] μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι. Τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τι που [6] ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων, καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε, τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, [7] ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς, ἰδίᾳ, τὸ ἐλεγεῖον τόδε,

Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας, Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

Τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο· καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις, ὅσαι, ξυγκαθελοῦσαι τὸν βάρβαρον, ἐστήσαντο ἀνάθημα. Τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτ' ἐδόκει εἶναι, καὶ ἐπεί γε δὴ [8] ἐν τούτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ δια-

νοίᾳ. Ἐπυνθάνοντο δὲ καὶ εἰς τοὺς Εἵλωτας πράσσειν τι αὐτόν· καὶ ἦν δὲ οὕτως.—ἐλευθέρωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι, καὶ τὸ πᾶν ξυγκατεργάσωνται. Ἀλλ' οὐδ' ὥς, οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες, ἠξίωσαν νεώτερόν τι ποιεῖν εἰς αὐτόν· χρώμενοι τῷ τρόπῳ ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτούς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου, ἄνευ ἀναμφισβητήτων τεκμηρίων, βουλεῦσαί τι ἀνήκεστον· πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν, ἀνὴρ Ἀργίλιος, παιδικά ποτε ὢν αὐτοῦ, καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται, δείσας κατὰ ἐνθύμησίν τινα, ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων πάλιν ἀφίκετο· καὶ [1] παραποιησάμενος σφραγῖδα, ἵνα, ἢν ψευσθῇ τῆς δόξης, [2] ἢ καὶ ἐκεῖνος μεταγράψαι τι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολάς, [3] ἐν αἷς, ὑπονοήσας τι τοιοῦτον προσεπεστάλθαι, καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν.

Τότε δὴ οἱ Ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς ἣν τῶν τε Ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου [4] ὡς αὐτὸν ἐλθόντος, καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ᾔσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ γραφέντα, καὶ τἄλλα ἀποφαίνοντος [5] καθ' ἕκαστον, [6] ὡς οὐδὲν πώποτε αὐτόν, ἐν ταῖς πρὸς βασιλέα διακονίαις, παραβάλοιτο, [7] προτιμηθείη δ', ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων, ἀποθανεῖν· κἀκείνου αὐτά τε ταῦτα ξυνομολογοῦντος, καὶ περὶ τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, [8] ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναστά-

σεως, [1]καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι, καὶ μὴ [2]τὰ πρασσόμενα διακωλύειν.

Ἀκούσαντες δὲ ἀκριβῶς, τότε μὲν ἀπῆλθον οἱ Ἔφοροι· βεβαίως δὲ ἤδη εἰδότες, ἐν τῇ πόλει [3]τὴν ξύλληψιν ἐποιοῦντο. Λέγεται δ' αὐτὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν Ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι [4]ἐφ' ᾧ ἐχώρει· ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου, καὶ δηλώσαντος εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς [5]Χαλκιοίκου χωρῆσαι δρόμῳ, καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος· καὶ ἐς οἴκημα οὐ μέγα, [6]ὃ ἦν τοῦ ἱεροῦ, ἐσελθὼν, [7]ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζεν. Οἱ δὲ, τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει· μετὰ δὲ τοῦτο, τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον, καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν, καὶ [8]ἀπολαβόντες εἴσω, ἀπῳκοδόμησαν· προσκαθεζόμενοί τε, ἐξεπολιόρκησαν λιμῷ. Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν, ὥσπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοι, ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα· καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους ἐμβάλλειν εἰώθεισαν. Ἔπειτα ἔδοξε πλησίον του κατορύξαι. Ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς—"τόν τε "τάφον" ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν "οὗπερ ἀπέθανε,"—καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι,—" [9]καὶ, ὡς ἄγος αὐτοῖς ὂν τὸ "πεπραγμένον, δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ "ἀποδοῦναι." Οἱ δὲ, ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο, ὡς ἀντὶ Παυσανίου ἀνέθησαν.

[1] Ἐκ τοῦ τῆς ΞΥΓΓΡΑΦΗΣ δευτέρου.

II. 47.

[2] Ὁ τῶν ἈΘΗΝΑΙΩΝ ΛΟΙΜΟΣ.

Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, [3] τὰ δύο μέρη, ὥσπερ καὶ τοπρῶτον, [4] ἐσέβαλον ἐς τὴν Ἀττικὴν,—ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεὺς,—καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. Καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ [5] ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ, οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι· οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία [6] τέχνη οὐδεμία. Ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν. [7] Τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. Ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε· καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ [8] ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν, ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι. Ὕστεροι δὲ, καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη.—Λεγέτω μὲν οὖν περὶ αὐτοῦ, ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης, [9] ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας, ἅστινας νομίζει, τοσαύτης μεταβολῆς, ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι

σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν,—εἴποτε καὶ αὖθις ἐπιπέσοι,—μάλιστ' ἂν ἔχοι, τι προειδὼς, μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

[1]Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. Τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε· καὶ [2]τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ [3]πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα, ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο· καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος, μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε [4]ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς, πᾶσαι ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπήεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. [5]Λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν, τοῖς μὲν [6]μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. Καὶ τὸ μὲν, ἔξωθεν ἁπτομένῳ, σῶμα οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, [7]πελιδνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς, [8]μήτ' ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν· καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων (ἀνθρώπων) καὶ ἔδρασαν ἐς φρέατα, ἀπαύστῳ τῇ δίψῃ ξυνεχόμενοι. [9]Καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό τε πλέον καὶ ἔλασσον ποτόν· καὶ [10]ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ παντός· καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε, παρὰ δόξαν,

τῇ ταλαιπωρίᾳ· ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, [1]ἔτι ἔχοντές τι δυνάμεως, ἤ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε [2]αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ πολλοὶ ὕστερον διὰ τὴν ἀσθένειαν διεφθείροντο· διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν·—[3]καὶ εἴτις ἐκ τῶν μεγίστων περιγένοιτο, [4]τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε· κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ, στερισκόμενοι τούτων, διέφευγον· [5]εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν· τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας, τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα [6]ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο· τεκμήριον δὲ, τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, [7]οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, [8]διὰ τὸ ξυνδιαιτᾶσθαι.

Τὸ μὲν οὖν νόσημα,—πολλὰ καὶ ἄλλα [9]παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον,—τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν. Καὶ ἄλλο παρελύπει, κατ' ἐκεῖνον τὸν χρόνον, οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. ἔθνησκον δὲ, οἱ μὲν, ἀμελείᾳ, οἱ δὲ, καὶ πάνυ θεραπευόμενοι· ἕν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν, ἄλλον τοῦτο ἔβλαπτε. [10]Σῶμά τε

αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ, ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία, ὁπότε τις [1] αἴσθοιτο κάμνων,—πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐκ ἀντεῖχον,—[2] καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. εἴτε γὰρ μὴ θέλοιεν, δεδιότες, ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴ τε προσίοιεν, διεφθείροντο· καὶ μάλιστα [3] οἱ ἀρετῆς τι μεταποιούμενοι· [4] αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπιπλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ τὸν αὐτὸν, ὥστε καὶ κτείνειν, οὐκ ἐπελάμβανε. Καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μηδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

Ἐπίεσε δ' αὐτοὺς μᾶλλον, πρὸς τῷ ὑπάρχοντι πόνῳ, καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ [5] οὐχ ἧσσον τοὺς ἐπελθόντας· οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς [6] ὥρᾳ ἔτους διαιτωμένων, ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας, ἡμιθνῆτες, τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ· τά τε ἱερὰ, ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως.* νόμοι

τε πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς· ἔθαπτον δὲ ὡς ἕκαστος ἠδύνατο· καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο, σπάνει τῶν ἐπιτηδείων, [1] διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· [2] ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μὲν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν, ὑφῆπτον, οἱ δὲ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβάλοντες ὃν φέροιεν, ἀπήεσαν.

[3] Πρῶτόν τε ἦρξε, καὶ ἐς τἄλλα, τῇ πόλει ἐπιπλέον ἀνομίας τὸ νόσημα· [4] ῥᾷον γὰρ ἐτόλμα τὶς ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων· ὥστε ταχείας τὰς ἐπαυρέσεις, καὶ πρὸς τὸ τερπνὸν, ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. Καὶ τὸ μὲν προσταλαιπωρεῖν [5] τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ, πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ τι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸν κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. [6] Θεῶν δὲ φόβος, ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μὲν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ, ἐκ τοῦ πάντας ὁρᾷν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημάτων, οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς [7] ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην, σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τὶ ἀπολαῦσαι.

Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε του ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομά-

σθαι, ἐν τῷ ἔπει, ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν· ἐνίκησε δὲ, ἐπὶ τοῦ παρόντος, εἰκότως, λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον, τὴν μνήμην ἐποιοῦντο· ἢν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς, τοῦδε ὕστερος, καὶ ξυμβῇ γίνεσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν, ἀνεῖλε—κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, [1] καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. Περὶ μὲν οὖν τοῦ χρηστηρίου, τὰ γιγνόμενα εἴκαζον ὅμοια εἶναι. [2] Ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς· καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ, τι καὶ ἄξιον εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. Ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

III.

'E XENOPHONTE.

QUID ego commemorem XENOPHONTIS *jucunditatem illam inaffectatam, sed quam nulla possit affectatio consequi? ut ipsæ finxisse sermonem Gratiæ videntur.* QUINCT. X. I.

---

[2] Ἐκ τῆς ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ.

[JUXTA EDIT. I. G. SCHNEIDER. LIPS. 1800.]

I. ii. 1.

[3] Τὸ τοῦ ΚΥΡΟΥ γένος.

ΠΑΤΡΟΣ μὲν δὴ λέγεται Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως· (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ [4] Περσεῖδαι ἀπὸ Περσέως [5] κληΐζονται·) μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων [6] γενομένου βασιλέως. [7] Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. [8] Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις.

Περσῶν Νόμοι.

[1] Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθεν, ὅθεν περ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις, ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι, διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, [2] μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, [3] ζημίας αὐτοῖς ἐπέθεσαν. [4] Οἱ δὲ Περσικοὶ νόμοι, προλαβόντες, ἐπιμέλονται, ὅπως, [5] τὴν ἀρχὴν, μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, ὥστε πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ [6] ἐφίεσθαι. Ἐπιμέλονται δὲ ὧδε. Ἔστιν αὐτοῖς [7] Ἐλευθέρα Ἀγορὰ καλουμένη, ἔνθα [8] τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια καὶ [9] οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ [10] ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. Διήρηται δὲ αὕτη ἡ ἀγορὰ, ἡ περὶ τὰ ἀρχεῖα, εἰς τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς [11] ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προρρηθῇ παρεῖναι· οὔτε πολλάκις ἀπεῖναι καλόν. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα·—δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διήρηνται·—καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι·

ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὐτοὺς τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ἡρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, [1] ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται.

Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες, [2] διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν ὅτι [3] ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον μέρος τῆς ἡμέρας δικάζοντες αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, [4] καὶ ἄλλων οἵων εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος,—οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, [5] δικάζονται δὲ ἥκιστα,—ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς· οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ θεοὺς [6] ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους· ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· [7] μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους καὶ πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσ-

κουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, [1] ἄρτον, ὄψον δὲ, κάρδαμον· πιεῖν δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτὰ καὶ δέκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε·

Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης·—δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι·—παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα. Ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα παρὰ τὴν φαρέτραν, καὶ ἐν κολεῷ κοπίδα ἢ σάγαριν· ἔτι δὲ καὶ γέῤῥον, καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς, ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται ὅπως ἂν θηρῷεν, ὅτι ἀληθεστάτη δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι· καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι· γυμνάζει δὲ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, [2] φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴ-

διον εὑρεῖν ἐν τῇ θήρᾳ τί ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχοντες πλεῖον μὲν, ὡς τὸ εἰκὸς, τῶν παίδων, τἄλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν, οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρίψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω ταύτας τὰς ἡμέρας λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ, ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μὴ, τὸ κάρδαμον. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ [1] μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. Αἱ δ' αὖ μένουσαι φυλαὶ [2] διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ [3] διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες, καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δέησῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλό τι, ὅσα ἰσχύος ἢ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν· Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας.

Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε· Πρῶτον μὲν, ὥσπερ οἱ ἔφηβοι, παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρη-

σθαι, [1]ἤν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ που δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες, οὐδὲ παλτὰ, στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις, καὶ γέρρον ἐς τῇ ἀριστερᾷ, οἷόν περ γράφονται οἱ Πέρσαι ἔχοντες· ἐν δὲ τῇ δεξιᾷ, μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι [2]ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις, ἢ ἐν ἐφήβοις, ἢ ἐν τελείοις ἀνδράσιν, ἐλλίπῃ τι τῶν νομίμων, [3]φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος. Οἱ δὲ γεραίτεροι ἀκούσαντες, [4]ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς, ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, [5]μικρὸν ἐπάνειμι· νῦν γὰρ [6]ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. Οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. Οἳ δ' ἂν ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι *, καὶ ἀρχῶν

καὶ τιμῶν μετέχειν· οἳ δ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους· οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· [1]καὶ ἡ πολιτεία αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. Καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτύρια καὶ τῆς μετρίας διαίτης αὐτῶν, καὶ [2]τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι καὶ [3]τὸ ἰόντα που φανερὸν γενέσθαι, ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. Ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δὲ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

* * *

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων [5]διαφέρων ἐφαίνετο, καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο [2]Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ [6]ὀφθαλμῶν ὑπογραφῇ, καὶ χρώματος ἐντρίψει, καὶ κόμαις προσθέτοις, ἃ

δὴ νόμιμα ἦν ἐν Μήδοις,—ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλλια περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστεραι,—ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν,—Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος.—Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ ἢ οὗτος· ἀπεκρίνατο ἄρα ὁ Κῦρος,—[1]Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος.—Ἀντασπαζόμενος δὲ αὐτὸν ὁ Ἀστυάγης, καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελλίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν, καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν, ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον τὰ οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παντοδαπὰ [2]ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν,—Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων.—Τί δέ; [3]φάναι τὸν Ἀστυάγην, [4]Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται,—Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ

κρέας εἰς τοῦτο ἄγει· ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, [1]πολλούς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκομεν.—Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δ', ἔφη, καὶ σὺ γνώσῃ ὅτι ἡδέα ταῦτά ἐστιν.—Ἀλλὰ καί σε, φάναι τὸν Κῦρον, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ.—Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι.—Καί τινι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, ταῦτα λέγεις;—Ὅτι σὲ, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρεις τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι καταπλέα σοι ἀπ' αὐτῶν ἐγένετο.—Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν·—Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς·—Ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν, καὶ θήρεια καὶ τῶν ἡμέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν·—Ἦ καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, [2]ὅ τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι;—Νὴ Δία, φάναι, ἐγώ σοι, ὦ παῖ. Ἐνταῦθα δὲ τὸν Κῦρον, [3]λαβόντα τῶν κρεῶν, διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ·—Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις· Σοὶ δὲ, ὅτι μοι παλτὸν ἔδωκας· τοῦτο γὰρ νῦν ἔχω· Σοὶ δὲ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις· Σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς·—τοιαῦτα ποιεῖν, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα.—Σάκᾳ δὲ, φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; [4]Ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ ἀποκωλύειν οὓς μὴ καιρὸς αὐτῷ [5]δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι [6]προπετῶς, ὡς ἂν [7]παῖς μηδέπω ὑποπτήσσων,—Διὰ τί, ὦ

πάππε, τοῦτον οὕτω τιμᾷς;—Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν,—Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως;—Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως ἐγχέουσι, [1] καὶ διδόασι τοῖς τρισὶ δακτύλοις, ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν ὡς ἂν [2] ἐνδοῖεν τὸ ἔκπωμα [3] εὐληπτότατα τῷ μέλλοντι πίνειν.—Κέλευσον δή, φάναι, ὦ πάππε, τῷ Σάκᾳ καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν [4] ἐγχέας, ἀνακτήσωμαί σε, ἢν δύνωμαι.—[5] Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον, [6] οὕτω μὲν εὖ κλύσαι τὸ ἔκπωμα ὥσπερ τὸν Σάκαν ἑώρα· οὕτω δὲ [7] στήσαντα τὸ πρόσωπον, σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγῃ πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν,—Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον·—Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς [8] τῷ κυάθῳ, [9] εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταρροφοῦσι· τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη,—Καὶ τί δή, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπερρόφησας τοῦ οἴνου;—Ὅτι νὴ Δί', ἔφη, [10] ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γάρ, ὅτε εἱστίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα.—Καὶ πῶς δή, ἔφη, σύ, ὦ παῖ, τοῦτο κατέγνως;—Ὅτι νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων· ᾔδετε δὲ καὶ

μάλα γελοίως· οὐδ' ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι, ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ [1] ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.—Καὶ ὁ Ἀστυάγης εἶπεν,—Ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται;—Οὐ μὰ Δί', ἔφη.—Ἀλλὰ πῶς ποιεῖ;—[2] Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν,—Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς;—Τὸν δὲ Κῦρον εἰπεῖν,—Ὅτι νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ.—Καὶ τὸν Ἀστυάγην εἰπεῖν,—Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ;—Καὶ τὸν Κῦρον φάναι, [3] Στὰς ἂν, ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα, ὁπότε βούλοιτο εἰσιέναι [4] ἐπ' ἄριστον, λέγοιμ' ἂν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἂν, ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἂν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· [5] ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων.—Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, [6] χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρασκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης

καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζοι εἶναι καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον,—Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοὶ, πρῶτον μὲν, τῆς παρ' ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμὲ, [1] ἐπί σοι ἔσται· καὶ χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων [3] ἄπει οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ, ἐν τῷ δείπνῳ, [4] ἐπὶ τὸ μετρίως σοὶ δοκοῦν ἔχειν, ὁποίαν ἂν βούλῃ ὁδὸν πορεύσῃ. Ἔπειτα, τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ [5] σοι, ἐγὼ, συμπαίκτορας, παρέξω· καὶ ἄλλα, ὅσα ἂν βούλῃ, λέγων πρὸς ἐμὲ, οὐκ ἀτυχήσεις.—Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, διὰ τί· εἰπεῖν λέγεται,—Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμαχεῖν [6] αὐτῷ.—Τὴν δὲ μητέρα εἰπεῖν,—Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοὶ τῶν διδασκάλων;—Καὶ τὸν Κῦρον φάναι,—Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταύτην γε

οἶδα.—Πῶς σὺ οἶσθα,—εἰπεῖν τὴν Μανδάνην;—Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν. Καί τοι, φάναι, ἐπὶ μιᾷ δή ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε·—Παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἔγωγ᾽ οὖν τούτοις δικάζων, ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος, λέγων ὅτι ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτὴς, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ᾽ ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί· [1]πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον, ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη τὸ μὲν νόμιμον, δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ νόμῳ οὖν ἐκέλευεν ἀεὶ τὸν δικαστὴν [2]τὴν ψῆφον τίθεσθαι· Οὕτως ἐγώ [3]σοι, ἔφη, ὦ μῆτερ, τάγε δίκαια παντάπασιν οἶδα ἀκριβῶς· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει.—Ἀλλ᾽ οὐ ταυτὰ, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια καὶ ἐν Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ τῇ πόλει· τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ, ἀλλ᾽ ὁ νόμος ἐστίν. [4]Ὅπως οὖν μὴ ἀπολῇ μαστιγούμενος, ἐπειδὴ οἴκοι εἴης, ἂν, παρὰ τούτου μαθὼν, ἥκῃς, ἀντὶ τοῦ βασιλικοῦ, τὸ τυραννικὸν, [5]ἐν ᾧ ἐστὶ τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ᾽ ὅ γε σὸν πατὴρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν. Ἢ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν

ἑαυτοῦ μεῖον ἔχειν; Ὥστε θάῤῥει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα, οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψεται.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ, ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις [1] συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν [2] ἀνήρτητο προσιὼν, καὶ ἔνδηλος ὢν ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον τοῦ Κύρου δεῖσθαι διαπράξασθαί σφισιν. Ὁ δὲ Κῦρος, ὅ τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν, [3] περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. Καὶ ὁ Ἀστυάγης δὲ, ὅ τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ [4] κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτὸς, εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα, ὑπηρετήσων ὅ τι [5] οἴοιτο χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ, καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, [6] πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία· ὥστε ἐπεθύμει

ἂν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν σὺν τῷ μεγέθει, εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ, τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· [1] καὶ τὸ σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, οὐκέτι ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὲ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείττων ᾔδει ὢν, ταῦτα προυκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, [2] ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν. Καὶ κατῆρχεν ἢ διαναπηδῶν ἐπὶ τοὺς ἵππους, ἢ διακοντιζόμενος, ἢ διατοξευόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡττώμενος δὲ, αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα. [3] Ὡς δ' οὐκ ἀπεδίδρασκεν, ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῷτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο, τῇ ἱππικῇ, τοῖς ἡλικιώταις· ταχὺ δ' παρῄει, διὰ τὸ ἐρᾷν τοῦ ἔργου· ταχὺ δὲ καὶ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτὸν,—Ὦ πάππε, [4] τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; Ἀλλ' ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι.—Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὢν, ἀλλ' ὀκνηρότερον [5] προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ [6] παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προΐδοι, εἰ καιρὸς

εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει, ἐφ' ἵππων, πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτὸν, καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαῤῥοῦντα διώκειν. Οἱ δ' ἔλεγον ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν, καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες, καὶ ἄγριοι ὄϊες, καὶ οἱ ὄνοι οἱ ἄγριοι, ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη [1] αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος ταῦτα πάντα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουεν, ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, [2] καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· [3] οὐ μὴν ἀλλ' ἐπέμενεν ὁ Κῦρος μόλις πως, καὶ [4] ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, [5] καλόν τι χρῆμα καὶ μέγα. Ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες, [6] ἐλοιδόρουν αὐτὸν, καὶ ἔλεγον εἰς οἷον κίνδυνον ἔλθοι· καὶ ἔφασαν [7] κατερεῖν αὐτοῦ τῷ πάππῳ. Ὁ οὖν Κῦρος [8] εἱστήκει, καταβεβηκὼς, καὶ ἀκούων ταῦτα [9] ἠνιᾶτο. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδεν, ἐκ τοῦ ἐναντίου, κάπρον [10] προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ [11] διατεινάμενος εὐστόχως, βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον. Ἐνταῦθα μέντοι ἤδη καὶ [12] ὁ θεῖος αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα ὁρῶν. Ὁ δ', αὐτοῦ

λοιδορουμένου, ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι, εἰσκομίσαντα, τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασὶν,—Ἀλλ᾽ ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον, ἀλλὰ καὶ ἐμοὶ λοιδορήσεται, ὅτι σε εἴων.—Κἂν βούληται,—φάναι αὐτὸν,—μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ γε εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος ὅ τι βούλει, τοῦτο ὅμως χάρισαί μοι.—Καὶ ὁ Κυαξάρης, μέντοι, τελευτῶν, εἶπε.—Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι.—Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν ὅτι αὐτὸς ταῦτα [1]θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐδείκνυε μὲν οὔ, κατέθηκε δὲ ἡματωμένα, ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν, —Ἀλλ᾽, ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα μοι δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενὸς, ὥστε σὲ κινδυνεύειν.—Καὶ ὁ Κῦρος ἔφη,—Εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτὰ, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις.—Ἀλλ᾽, ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδίδου ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις.—Καὶ ὁ Κῦρος λαβὼν, ἐδίδου τε ἄρα τοῖς παισὶ, καὶ ἅμα ἔλεγεν·—

Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόν περ εἴ τις δεδεμένα ζῶα θηρῴη. Πρῶτον μὲν γὰρ, ἐν μικρῷ χωρίῳ ἦν· ἔπειτα, καὶ μικρὰ καὶ λεπτὰ καὶ ψωραλέα· [καὶ τὸ μὲν αὐτῶν, χωλὸν ἦν· τὸ δὲ, κολοβόν. Τὰ δ᾽ ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία,—ὡς μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι, ὥσπερ πτηναὶ, ἥλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κάπροι, ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς πλατύτητος [2]οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν· καλλίω δὲ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα

εἶναι, ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα.—Ἀλλ' ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν;—Καὶ ῥᾳδίως γ' ἄν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι.—Καὶ ὁ Κῦρος εἶπε,—Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη;—[1] Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι;—Ἀλλὰ μὰ τὴν Ἥραν, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ λέγειν ἔγωγε, [2] οἷός τ' εἰμὶ οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. [3] Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὢν, δεινότατος λαλεῖν ἐδόκουν εἶναι.—Καὶ οἱ παῖδες εἶπον,—Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ [4] ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσῃ πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς [5] τὸ ἐπὶ σοὶ ἀνάγκη ἔσται δεῖσθαι.—Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη· καὶ σιγῇ ἀπελθὼν, διακελευσάμενος ἑαυτῷ τολμᾶν, εἰσῆλθεν, ἐπιβουλεύσας ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ [6] διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε·

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδρᾷ σοι τῶν οἰκετῶν, καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρῇ;—Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάζω;—Ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιήσεις;—Τί δὲ, ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρήσομαι;—[7] Ὥρα ἄν, ἔφη ὁ Κῦρος,—παρασκευάζεσθαί σοι εἴη ὅπως μαστιγώσεις με, ὡς βουλευόμενόν γε ὅπως ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν·—Καὶ ὁ Ἀστυάγης,—Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γὰρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι.—Ἀκούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν, σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω

αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίσασθαι, ἐξάγει ἐπὶ θήραν· καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δὲ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν·—Ἀλλ' εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾷν, ἄφες πάντας τοὺς κατ' ἐμὲ διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος τὰ κράτιστα δύναιτο.—Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο τοὺς ἁμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ ἥδετο, οὐ δυναμένῳ σιγᾷν ὑπὸ τῆς ἡδονῆς, ἀλλ', ὥσπερ σκύλακι γενναίῳ, ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ [1] τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ᾐσθάνετο, [2] οὐδ' ὁπωστιοῦν φθονερῶς. Τέλος δ' οὖν, πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης [3] ἀπῄει. Καὶ τὸ λοιπὸν οὕτως ἥδετο τῇ θήρᾳ, ὥστε ἀεὶ, [4] ὁπότε οἷόν τε εἴη, [5] συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὢν, κακοῦ δὲ οὐδενί.

* * *

Καμβύσης δὲ, ὁ τοῦ Κύρου πατὴρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπειδὴ δὲ ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον, ἀπεκάλει, ὅπως [6] τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατὴρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο. Τῷ οὖν Ἀστυάγει ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς, οὓς αὐτὸς ἐπεθύμει λαβὼν, καὶ ἄλλα συσκευ-

ἄσαι παντοδαπὰ, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτὸν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾷν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες καὶ ἥλικες, καὶ ἄνδρες, καὶ γέροντες, ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτός· καὶ οὐδένα ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. Καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναι αὐτόν φασι τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ, καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλῶν ὅτι τοῦτον μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει ἀπενεγκεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι· τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους καὶ εἰπεῖν,—Ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν [1] εἴ τῳ τὶ ἐγὼ δέδωκα·—Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι, ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.

* * *

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν λέγεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. Καὶ, τὸ μὲν πρῶτον, οἱ παῖδες ἔσκωπτον αὐτὸν, [2] ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἥκοι. Ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοὶ, ἡδέως, καὶ πίνοντα, καὶ εἴ ποτ' ἐν ἑορτῇ εὐωχία προσγένοιτο, ἐπιδιδόντα [3] μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο, ἢ προσδεόμενον· καὶ πρὸς τούτοις δὲ, καὶ τἄλλα κρατιστεύοντα αὐτὸν ἑώρων, περὶ ἅπαντα, ἑαυτῶν· ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ. Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην, ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ μελετῶν ἃ χρὴ, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι.

V. I. 2.

ΠΑΝΘΕΙΑ.

Καλέσας δὲ ὁ Κῦρος Ἀράσπην Μῆδον,—ὃς ἦν αὐτῷ ἐκ παιδὸς ἑταῖρος, ᾧ καὶ τὴν στολὴν, ἐκδὺς, ἔδωκε τὴν Μηδικὴν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἀπῄει,—τοῦτον ἐκέλευσε διαφυλάξαι αὐτῷ [2]τήν τε γυναῖκα καὶ τὴν σκηνήν· ἦν δὲ αὕτη, ἡ γυνὴ Ἀβραδάτα τοῦ Σούσων βασιλέως· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς [3]οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὢν, ἀλλὰ πρὸς τὸν τῶν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ·— ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως ἂν αὐτὸς λάβῃ. Κελευόμενος δὲ ὁ Ἀράσπης ἐπήρετο,—Ἑώρακας δ', ἔφη, ὦ Κῦρε, τὴν γυναῖκα, ἥν με κελεύεις φυλάττειν;—Μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε.—Ἀλλ' ἔγωγε, ἔφη, ἡνίκα ἐξῃροῦμέν σοι αὐτήν· καὶ δῆτα, ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς τὸ πρῶτον, οὐ διέγνωμεν αὐτήν· χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα· ἐπεὶ δὲ, γνῶναι βουλόμενοι ποία εἴη ἡ δέσποινα, πάσας περιεβλέψαμεν, ταχὺ πάνυ καὶ πασῶν [4]ἐφαίνετο διαφέρουσα τῶν ἄλλων, καίπερ καθημένη, κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. Ὡς δὲ [5]ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ πᾶσαι αἱ ἀμφ' αὐτήν· διήνεγκε δὲ ἐνταῦθα, πρῶτον μὲν τῷ μεγέθει, ἔπειτα δὲ [6](τῇ ῥώμῃ,) καὶ τῇ ἀρετῇ, καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι [7]ἑστηκυῖα. [8]Δῆλα δ' ἦν αὐτῇ καὶ τὰ δάκρυα καταστάζοντα, τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. Ὡς δ' ἡμῶν ὁ γεραίτερος

εἶπε,—Θάῤῥει, ὦ γύναι· καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι, νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε,—[1] εὖ ἴσθι ὅτι—οὔτε τὸ εἶδος ἐκείνου χείρονι, οὔτε τὴν γνώμην, οὔτε τὴν δύναμιν· ἀλλ', ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι,[2] οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε.—Ὡς οὖν τοῦτο ἤκουσεν ἡ γυνὴ [3] περικατεῤῥήξατό τε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. Ἐν τούτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω [4] φῦναι μηδὲ γενέσθαι γυναῖκα, ἀπὸ θνητῶν, τοιαύτην ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θεάσῃ αὐτήν.—Καὶ ὁ Κῦρος ἔφη,—Ναὶ μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη ἐστὶν οἵαν σὺ λέγεις.—Τί δαί; ἔφη ὁ νεανίσκος.—Ὅτι, ἔφη, εἰ νυνὶ, [5] σοῦ ἀκούσας ὅτι καλή ἐστιν, πεισθήσομαι ἐλθεῖν θεασόμενος, οὐ πάνυ μοι σχολῆς οὔσης, δέδοικα μὴ, πολὺ θᾶττον, ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασόμενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας ὧν με δεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος.

Καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν·—[6] Οἴει γὰρ, ἔφη, ὦ Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν μὴ βουλόμενον [7] πράττειν παρὰ τὸ βέλτιστον; Εἰ μέντοι τοῦτο, ἔφη, [8] οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκαζεν ὁμοίως. Ὅρα, ἔφη, τὸ πῦρ ὡς πάντας ὁμοίως καίει· (πέφυκε γὰρ τοιοῦτον·) τῶν δὲ καλῶν, [9] τῶν μὲν ἐρῶσι, τῶν δ' οὔ· καὶ ἄλλος γε ἄλλου. Ἐθελούσιον γὰρ, ἔφη, ἐστι, καὶ ἐρᾷ ἕκαστος ὧν ἂν βούληται. Αὐτίκα δὲ οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος δὲ ταύτης· οὐδὲ πατὴρ θυγατρὸς, ἄλλος δὲ ταύτης. Καὶ γὰρ [10] φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. Εἰ δέ γ', ἔφη, νόμος τεθείη μὴ ἐσθίοντας μὴ πεινῆν, καὶ μὴ πίνοντας μὴ διψῆν, μηδὲ ῥιγοῦν τοῦ χειμῶ-

νος, μηδὲ θάλπεσθαι τοῦ θέρους, οὐδεὶς ἂν νόμος δυνηθείη διαπράξασθαι ἀνθρώπους ταῦτα πείθεσθαι· πεφύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι. Τὸ δ' ἐρᾶν, ἐθελούσιον ἐστίν· ἕκαστος [1] γοῦν τῶν καθ' αὑτὸν ἐρᾷ, ὥσπερ ἱματίων καὶ ὑποδημάτων.—Πῶς οὖν, ἔφη ὁ Κῦρος, [2] εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσασθαί ἐστιν ὅταν τὶς βούληται; Ἀλλ' ἐγὼ, ἔφη, ἑώρακα καὶ κλαίοντας ὑπὸ λύπης δι' ἔρωτα, καὶ δουλεύοντάς γε τοῖς ἐρωμένοις· καὶ μάλα κακὸν νομίζοντας, πρίν γε ἐρᾶν, τὸ δουλεύειν, καὶ διδόντας γε πολλὰ, ὧν οὐ βέλτιον αὐτοῖς στέρεσθαι· καὶ εὐχομένους [3] ὥσπερ καί τινος ἄλλης νόσου ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι, ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ τινὶ ἀνάγκῃ ἢ εἰ σιδήρῳ ἐδέδεντο. Παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις [4] πολλὰ καὶ εἰκῆ ὑπηρετοῦντας· καὶ μέντοι οὐδ' ἀποδιδράσκειν ἐπιχειροῦσι, τοιαῦτα κακὰ ἔχοντες, ἀλλὰ καὶ φυλάττουσι τοὺς ἐρωμένους, μή ποι ἀποδρῶσι.

Καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα· [5] Ποιοῦσι γὰρ, ἔφη, ταῦτα· εἰσὶ μέντοι οἱ τοιοῦτοι, ἔφη, μοχθηροί· διόπερ, οἶμαι, καὶ εὔχονται μὲν ἀεὶ, ὡς ἄθλιοι ὄντες, ἀποθανεῖν· [6] μυρίων δ' οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου, οὐκ ἀπαλλάττονται. Οἱ αὐτοὶ δέ γε οὗτοι καὶ κλέπτειν ἐπιχειροῦσι, καὶ οὐκ ἀπέχονται τῶν ἀλλοτρίων· ἀλλ' ἐπειδάν τι ἁρπάσωσιν ἢ κλέψωσιν, ὁρᾷς, ἔφη, ὅτι σὺ πρῶτος, ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν κλέπτοντα καὶ ἁρπάζοντα καὶ οὐ συγγινώσκεις, ἀλλὰ κολάζεις; Οὕτω μέντοι, ἔφη, καὶ οἱ καλοὶ οὐκ ἀναγκάζουσιν ἐρᾶν ἑαυτῶν, οὐδὲ ἐφίεσθαι ἀνθρώπους ὧν μὴ δεῖ· ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι, ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κᾆτα ἔρωτα αἰτιῶνται· οἱ δὲ καλοὶ κἀγαθοὶ, ἐπιθυμοῦντες καὶ χρυσίου καὶ ἵππων ἀγαθῶν καὶ γυναικῶν καλῶν, ὅμως ἁπάντων τούτων ῥᾳδίως δύνανται ἀπέχεσθαι, [7] ὥστε μὴ ἅπτεσθαι αὐτῶν, παρὰ τὸ δίκαιον. Ἔγωγ' οὖν, ἔφη, ταύτην

ἑωρακὼς, καὶ πάνυ μοι καλῆς δοξάσης εἶναι, ὅμως παρὰ σοί εἰμι, καὶ ἱππεύω, καὶ τἄλλα τὰ ἐμοὶ προσήκοντα ἀποτελῶ.—Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· [1]ἴσως γὰρ θᾶττον ἀπῆλθες ἢ ἐν ὅσῳ χρόνῳ ὁ ἔρως πέφυκε συσκευάζεσθαι ἄνθρωπον. [2]Καὶ πυρὸς γάρ τοι ἐστὶ θίγοντα μὴ εὐθὺς καίεσθαι, καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει· ὅμως δὲ ἔγωγε οὔτε πυρὸς [3]ἑκὼν εἶναι ἅπτομαι, οὔτε τοὺς καλοὺς ἐσορῶ. Οὐδέ γέ σοι συμβουλεύω, ἔφη, ὦ Ἀράσπα, ἐν τοῖς καλοῖς ἐᾷν τὴν ὄψιν ἐνδιατρίβειν· ὡς τὸ μὲν πῦρ τοὺς ἁπτομένους καίει, οἱ δὲ καλοὶ καὶ τοὺς ἄποθεν θεωμένους ὑφάπτουσιν, ὥστε αἴθεσθαι τῷ ἔρωτι.—Θάῤῥει, ἔφη, ὦ Κῦρε, οὐδε ἢν μηδέποτε παύσωμαι θεώμενος, οὐ, μὴ κρατηθῶ, ὥστε ποιεῖν τὶ ὧν μὴ χρὴ ποιεῖν.—Κάλλιστα, ἔφη, λέγεις· φύλαττε τοίνυν, ἔφη, ὥσπερ σε κελεύω, καὶ [4]ἐπιμελοῦ αὐτῆς· ἴσως γὰρ ἂν καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή. Τότε μὲν δὴ ταῦτα εἰπόντες διελύθησαν.

Ὁ δὲ νεανίσκος, ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν γυναῖκα, ἅμα δὲ αἰσθόμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα καὶ θεραπεύων αὐτὴν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ αἰσθανόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ' ἀντεπιμελουμένην, διὰ τῶν αὐτῆς οἰκετῶν, ὡς καὶ εἰσιόντι εἴη αὐτῷ τὰ δέοντα, καὶ, εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς ἂν δέοιτο· ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι, καὶ ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε. Καὶ ταῦτα μὲν δὴ οὕτως ἐπράττετο.

VI. i. 31.

[5]Βουλόμενος δέ τινα κατάσκοπον πέμψαι ἐπὶ Λυδίας, καὶ μαθεῖν ὅ τι πράσσει ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι ὁ Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων

τὴν καλὴν γυναῖκα. Συνεβεβήκει γὰρ τῷ Ἀράσπᾳ τοιάδε· ληφθεὶς ἔρωτι τῆς γυναικὸς, ἠναγκάσθη προσενεγκεῖν λόγους αὐτῇ περὶ συνουσίας. Ἡ δὲ ἀπέφησε μὲν, καὶ ἦν πιστὴ τῷ ἀνδρὶ, καίπερ ἀπόντι· ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς· οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς τὸν Κῦρον, [1]ὀκνοῦσα συμβαλεῖν φίλους ἄνδρας. Ἐπεὶ δὲ ὁ Ἀράσπας, δοκῶν [2]ὑπηρετήσειν τῷ τυχεῖν ἃ ἐβούλετο, ἠπείλησε τῇ γυναικὶ, ὅτι εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοι ταῦτα· ἐκ τούτου ἡ γυνὴ, ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει [3]τὸν εὐνοῦχον πρὸς τὸν Κῦρον, καὶ κελεύει λέξαι ἅπαντα. Ὁ δ', ὡς ἤκουσεν, ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ, εἰ δύναιτο, οὐκ ἔφη κωλύειν. Ἐλθὼν δὲ ὁ Ἀρτάβαζος πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτὸν, παρακαταθήκην τε ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδικίαν τε καὶ ἀκράτειαν· ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ, μή τι καὶ πάθοι ὑπὸ Κύρου.

Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα, ἐκάλεσέ τε αὐτὸν, καὶ μόνος μόνῳ ἔλεξεν·—Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φοβούμενόν τε ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. Παῦσαι οὖν τούτων· ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἡττᾶσθαι, [4]ἀνθρώπους τε οἶδα, καὶ μάλα φρονίμους δοκοῦντας εἶναι, οἷα πεπόνθασιν ὑπ' ἔρωτος· [5]καὶ αὐτὸς δ' ἐμαυτοῦ κατέγνων μὴ ἂν καρτερῆσαι ὥστε συνὼν καλοῖς ἀμελῆσαι αὐτῶν. Καὶ σοὶ δὲ τούτου τοῦ πράγματος ἐγὼ αἴτιός εἰμι· ἐγὼ γάρ σε συγκαθεῖρξα τούτῳ τῷ ἀμάχῳ πράγματι.—Καὶ ὁ Ἀράσπας ὑπολαβὼν εἶπεν,—Ἀλλὰ σὺ μὲν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος εἶ οἷός περ καὶ

τἄλλα, πρᾶός τε καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτημάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι τῷ ἄχει. Ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς συμφορᾶς, οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι, προσιόντες, συμβουλεύουσιν [1] ἐκποδὼν ἔχειν ἐμαυτὸν, μή τι καὶ πάθω ὑπὸ σοῦ, [2] ὡς ἠδικηκότος ἐμοῦ μεγάλα.—Καὶ ὁ Κῦρος εἶπεν,—Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι ταύτῃ τῇ δόξῃ [3] οἷός τ' εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς συμμάχους μεγάλα ὠφελῆσαι.—[4] Εἰ γὰρ γένοιτο, ἔφη ὁ Ἀράσπας, ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος.—Εἰ τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν, ἐθέλοις εἰς τοὺς πολεμίους ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν πολεμίων. Ἔγωγε ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, [5] καὶ ὑπὸ τῶν φίλων οἶδα ὅτι, ὡς σὲ πεφευγὼς, λόγον ἂν παρέχοιμι.—Ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν, πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο, διὰ τὸ πιστεύειν· ὥστε μηδὲ ἕν σε λεληθέναι ὧν βουλόμεθα εἰδέναι.—[6] Ὡς πορευσομένου οὖν, ἔφη, ἤδη νυνί· καὶ γὰρ τοῦτο, ἴσθι, ἓν τῶν πιστῶν ἔσται, [7] τὸ δοκεῖν με, ὑπὸ σοῦ μελλήσαντά τι παθεῖν, ἐκπεφευγέναι.—Ἦ καὶ δυνήσῃ, ἔφη, ἀπολιπεῖν τὴν καλὴν Πάνθειαν; [8] Δύο γὰρ, ἔφη, ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς. Νῦν τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδίκου σοφίστου τοῦ Ἔρωτος. Οὐ γὰρ δὴ μία γε οὖσα, ἅμα ἀγαθή τέ ἐστι καὶ κακὴ, οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ, καὶ ταὐτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται πράττειν· ἀλλὰ δῆλον ὅτι δύο ἐστὸν ψυχὰ, καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ πράττεται· ὅταν δὲ ἡ πονηρὰ, τὰ αἰσχρὰ ἐπιχειρεῖται. Νῦν δὲ, ὡς σὲ σύμμαχον ἔλαβε, κρατεῖ ἡ ἀγαθὴ, καὶ πάνυ πολύ.—Εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι, ἔφη ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις πιστότερος ᾖς· ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ'

ἡμῶν, οὕτω τε ἐξάγγελλε, [1]ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα ἐμποδὼν μάλιστ' ἂν εἴη ὧν βούλονται πράττειν. Εἴη δ' ἂν ἐμποδὼν, εἰ ἡμᾶς φαίης παρασκευάζεσθαι [2]ἐμβαλεῖν που τῆς ἐκείνων χώρας· ταῦτα γὰρ ἀκούοντες, ἧττον ἂν παντὶ σθένει ἀθροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν οἴκοι. Καὶ μένε, ἔφη, παρ' ἐκείνοις [3]ὁτιπλεῖστον χρόνον· ἃ γὰρ ἂν ποιῶσιν, ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μάλιστα ἡμῖν καιρὸς εἰδέναι ἔσται. Συμβούλευε δ' αὐτοῖς καὶ ἐκτάττεσθαι ὅπῃ ἂν δοκῇ κράτιστον εἶναι· ὅταν γὰρ σὺ ἀπέλθῃς, εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τετάχθαι αὐτοῖς· [4]μετατάσσεσθαι γὰρ ὀκνήσουσι· ἢν δέ πῃ ἄλλῃ μετατάττωνται, [5]ἐξ ὑπογύου ταράξονται.—Ἀράσπας μὲν δὴ οὕτως ἐξελθὼν, συλλαβὼν τοὺς πιστοτάτους θεράποντας, καὶ εἰπὼν πρός τινας οἷα ᾤετο συμφέρειν τῷ πράγματι, ᾤχετο.

Ἡ δὲ Πάνθεια, ὡς ᾔσθετο οἰχόμενον τὸν Ἀράσπαν, πέμψασα πρὸς τὸν Κῦρον εἶπε· Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἐὰν γὰρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι ἥξειν πολὺ Ἀράσπου πιστότερόν σοι φίλον· [6]καὶ δύναμιν δὲ οἶδ' ὅτι ὁπόσην ἂν δύνηται ἔχων παρέσται σοι. Καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ' ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν, εὖ οἶδ' ὅτι ἀσμένος ἂν πρὸς ἄνδρα, οἷος σὺ εἶ, ἀπαλλαγείη.—Ἀκούσας ταῦτα ὁ Κῦρος κελεύει πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ' ἔπεμψεν. Ὡς δ' ἔγνω ὁ Ἀβραδάτας τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἄλλα δὲ ᾔσθετο ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς δισχιλίους. Ὡς δ' ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν ὃς ἦν. Ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς

τὴν γυναῖκα. Ὡς δ' ἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτας, ἠσπάσαντο ἀλλήλους ὡς εἰκὸς ἐκ δυσελπίστων. Ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ Ἀβραδάτας ἀκούσας εἶπε,—Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδιδοίην;—Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος περὶ ἐκεῖνον εἶναι οἷός περ καὶ ἐκεῖνος περὶ σέ;

Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας· καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς αὐτοῦ εἶπεν,—Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ σύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργός σοι πειράσομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος.—Καὶ ὁ Κῦρος εἶπεν,—Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις.

Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ, [1] ὅμοια ἐκείνῳ· αὐτὸς δὲ, ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος, παρεσκευάζετο. [2] Συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετράρρυμόν τε καὶ ἐξ ἵππων ὀκτώ· ἡ δὲ Πάνθεια ἡ γυνὴ αὐτοῦ, ἐκ τῶν ἑαυτῆς χρημάτων, χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο, καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια· τοὺς δ' ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο. Ἀβραδάτας μὲν ταῦτα ἔπραττε.

VI. iii. 35.

Ἀβραδάτας δὲ ὁ Σούσων βασιλεὺς εἶπεν,—Ἐγώ σοι, ὦ Κῦρε, [1] ἐθελούσιος ὑφίσταμαι τὴν κατὰ πρόσωπον τῆς ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τι σοι ἄλλο δοκεῖ. —Καὶ ὁ Κῦρος ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασιν Πέρσας,—Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα συγχωρεῖτε;—Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο, ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτοὺς, [2] καὶ ἔλαχεν Ἀβραδάτας ἧπερ ὑφίστατο, καὶ ἐγένετο κατὰ τοὺς Αἰγυπτίους. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπιμεληθέντες ὧν προεῖπον, ἐδειπνοποιοῦντο, καὶ, φύλακας* καταστησάμενοι, ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ πρωῒ μὲν ὁ Κῦρος ἐθύετο· ὁ δ' ἄλλος στρατὸς, ἀριστήσας καὶ [3] σπονδὰς ποιησάμενος, [4] ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· [5] καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ' ἐπὶ τοῖς ἅρμασι, παραπλευριδίοις· ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατία.

Καὶ τῷ Ἀβραδάτῃ δὲ τὸ τετράρυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ' ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ περιβραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ χιτῶνα πορφυροῦν, [6] ποδήρη, στολιδωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. [7] Ταῦτα δὲ ἐποιήσατο, λάθρα τοῦ ἀνδρὸς, ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε, καὶ ἐπήρετο τὴν Πάνθειαν,—Σὺ δή που, ὦ γύναι, συγκόψασα τὸν σαυτῆς κόσμον, τὰ ὅπλα μοι ἐποιήσω;—Μὰ Δί', ἔφη ἡ Πάνθεια, οὐκ οὖν τόν γε πλείστου ἄξιον· σὺ γὰρ ἔμοιγ', ἢν καὶ τοῖς ἄλλοις φανῆς

οἷός περ ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσμος ἴσῃ.—Ταῦτα δὲ λέγουσα ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.

Ἐπεὶ δὲ, καὶ πρόσθεν ὢν ἀξιοθέατος, ὁ Ἀβραδάτας ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. Ἐν δὲ τούτῳ ἡ Πάνθεια, ὑποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας, ἔλεξεν, "[1]Ἀλλ' ὅτι μὲν, ὦ Ἀβραδάτα, εἴ τις καὶ ἄλλη "πώποτε γυνὴ τὸν αὐτῆς ἄνδρα μεῖζον τῆς ἑαυτῆς ψυχῆς "ἐτίμησεν, οἶμαί σε γιγνώσκειν ὅτι καὶ ἐγὼ μία τού- "των εἰμί. Τί οὖν με δεῖ καθ' ἓν ἕκαστον λέγειν; τὰ "γὰρ ἔργα οἶμαί [2]σοι πιθανώτερα παρεσχῆσθαι τῶν νῦν "λεχθέντων λόγων. Ὅμως δ', οὕτως ἔχουσα πρός σε, "ὥσπερ σὺ οἶσθα, [3]ἐπομνύω σοι, τὴν ἐμὴν καὶ σὴν "φιλίαν, ἦ μὴν βούλεσθαι ἂν μετὰ σοῦ, ἀνδρὸς ἀγα- "θοῦ γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον ἢ ζῆν μετ' "αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ τῶν καλλί- "στων καὶ ἐμαυτὴν ἠξίωκα. Καὶ Κύρῳ δὲ δοκῶ μεγά- "λην τινὰ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με αἰχμάλωτον "γεγενημένην καὶ ἐξαιρεθεῖσαν ἑαυτῷ, οὔτε με ὡς δούλην "ἠξίωσε κεκτῆσθαι, οὔτε ὡς ἐλευθέραν, ἐν ἀτίμῳ ὀνό- "ματι· διεφύλαξε δή σοι ὥσπερ ἀδελφοῦ γυναῖκα "λαβών. [4]Πρὸς δὲ, καὶ ὅτε ὁ Ἀράσπας ἀπέστη αὐτοῦ, "ὁ ἐμὲ φυλάττων, ὑπεσχόμην αὐτῷ, εἴ με ἐάσειε πρός σε "πέμψαι, ἥξειν αὐτῷ σὲ πολὺ Ἀράσπου πιστότερον καὶ "ἀμείνονα."

Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτας ἀγασθεὶς τοῖς λόγοις, καὶ θίγων αὐτῆς τῆς κεφαλῆς, ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐπεύξατο·—Ἀλλ', ὦ Ζεῦ μέγιστε, δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρὶ, ἀξίῳ δὲ Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος.—Ταῦτα εἰπὼν, κατὰ τὰς θύρας

τοῦ ἁρματείου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρμα. Ἐπεὶ δὲ, ἀναβάντος αὐτοῦ, κατέκλεισε τὸν δίφρον ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια πῶς ἂν ἔτι ἄλλως ἀσπάσαιτο αὐτὸν, [1] κατεφίλησε τὸν δίφρον· καὶ τῷ μὲν προήει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα αὐτὸν συνεφείπετο, ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτας εἶπε,—Θάῤῥει, Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη.—Ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι, λαβοῦσαι αὐτὴν, ἀπῆγον εἰς τὴν ἁρμάμαξαν, καὶ, κατακλίναντες, κατεκάλυψαν [2] τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ θεάματος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν, πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

VII. iii. 2.

Ὁ δὲ Κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν,—Εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάταν; θαυμάζω γὰρ, ἔφη, ὅτι, πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν οὐδαμοῦ φαίνεται.—Τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο, ὅτι—ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στῖφος εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ἧπερ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν, ὡς κάθηται χαμαὶ, κεκοσμηκυῖα, οἷς εἶχε, τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι.—Ταῦτα ἀκούσας ὁ Κῦρος [3] ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ

εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας, [1]ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάτην δὲ καὶ Γωβρύαν ἐκέλευσεν, ὅ τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι, μεταδιώκειν· καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας καὶ βοῦς καὶ ἵππους, εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν [2]ὅποι ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτᾳ.

Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε,—Φεῦ, ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς; —καὶ ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀποκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰγυπτίων. Ὁ δὲ, ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν, ὡς οἷόν τ' ἦν, προσήρμοσε· καὶ εἶπε,—Καὶ [3]τἄλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει.—Ἀλλὰ τί δεῖ σε ὁρᾷν; Καὶ ταῦτ', ἔφη, οἶδ' ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ Κῦρε, οὐδὲν ἧττον. Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει, ὅ τι πείσοιτο, ἀλλὰ τί ἄν σοι ποιήσας χαρίσοιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, [4]ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακάθημαι.—Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο,—Ἀλλ' οὗτος μὲν δὴ, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ, λαβοῦσα, τοῖσδε ἐπικόσμει αὐτὸν, τοῖς παρ' ἐμοῦ·—παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες·—ἔπειτα δ' ἔφη,—ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ὑμῶν, καὶ [5]ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. Καὶ σὺ δὲ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ

σε, καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς, καὶ τἄλλα τιμήσω, καὶ συστήσω, ὅστις ἀποκομιεῖ σε, ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον, πρὸς ὅντινα χρῄζεις κομισθῆναι.—Καὶ ἡ Πάνθεια εἶπεν,—Ἀλλὰ θάῤῥει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω, πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.

Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε γυναῖκα, [1]οἵου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ᾽ ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν [2]ἀποστῆναι· ἕως ἄν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι ὡς βούλομαι· τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς, πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε, καὶ χαλεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ, ἀκινάκην πάλαι [3]παρεσκευασμένη, σφάττει ἑαυτὴν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν, ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστελλεν. Ὁ δὲ Κῦρος, ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικὸς, ἐκπλαγεὶς ἵεται, εἴ τι δύναιτο βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, [4]σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται, οὗπερ ἔταξεν αὐτοὺς ἑστηκότες. Ὁ δὲ Κῦρος, ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος, ἀπῄει· [5]καὶ τούτων μὲν, ᾗ εἰκὸς, ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασιν. [6]Καὶ νῦν τὸ μνῆμα μέχρι [τοῦ νῦν] τῶν εὐνούχων κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγεγράφθαι, [7]ΣΚΗΠΤΟΥΧΩΝ.

VIII. vii. 1.

Τὰ τοῦ ΚΥΡΟΥ ἀποθνήσκοντος.

Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας [1] τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δὴ, ὥσπερ εἰκὸς, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερὰ, [2] καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διεδωκεν, ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ, ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄνθρωπον, εἰπεῖν,—Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει.—Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν ἱερεῖα, ἔθυε Διΐ τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· "Ζεῦ πατρῷε καὶ Ἥλιε, καὶ πάντες θεοὶ, "δέχεσθε τάδε, καὶ τελεστήρια πολλῶν καὶ καλῶν πρά-"ξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι, καὶ ἐν "ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν "φήμαις, ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ "δ' ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν "ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ "ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς, δοῦναι καὶ νῦν "παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαι-"μονίαν· ἐμοὶ δὲ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην "καὶ τελευτὴν δοῦναι." Ὁ μὲν δὴ, ταῦτα ποίησας, καὶ οἴκαδε ἐλθὼν, ἔδοξεν ἡδέως ἀναπαύσεσθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν ὅτι ἡδέως ἀνα-

παύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο· διψῆν δ' ἐδόκει, καὶ ἔπινεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ τὰ αὐτὰ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· [1]οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ, καὶ ὄντες ἐν Πέρσαις. Ἐκάλεσε δὲ καὶ τοὺς φίλους, καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

" Παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ
" μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο
" σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω,
" ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα.
" Ἐγὼ γὰρ παῖς τε ὢν, τὰ ἐν παισὶ νομιζόμενα καλὰ
" δοκῶ κεκαρπῶσθαι· ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις·
" τέλειός τε ἀνὴρ γενόμενος, τὰ ἐν ἀνδράσι. [2]Σὺν
" τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώ-
" σκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν
" γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστε-
" ρον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας
" οἶδα ὅτου ἠτύχησα. Καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι'
" ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ
" δουλωθέντας· καὶ τὴν πατρίδα, πρόσθεν ἰδιωτεύουσαν
" ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω· ἃν τ'
" ἐκτησάμην οὐδὲν οἶδα ὅ τι οὐ διεσωσάμην. Καὶ τὸν
" μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥσπερ ηὐχό-
" μην· φόβος δέ μοι συμπαρομαρτῶν, μή τι ἐν τῷ ἐπι-
" όντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπὸν,
" οὐκ εἴα τελέως μέγα φρονεῖν, [3]οὐδ' εὐφραίνεσθαι ἐκ-
" πεπταμένως. Νῦν δ', ἢν τελευτήσω, καταλείπω μὲν
" ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ
" γενέσθαι· καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμο-
" νοῦντας· [4]ὥστε πῶς οὐκ ἂν ἐγὼ, δικαίως μακαριζόμενος,
" τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; Δεῖ δὲ καὶ τὴν

“ βασιλείαν μὲ ἤδη [1] σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν
“ μὴ, ἀμφίλογος γενομένη, πράγματα ὑμῖν παράσχῃ.
“ Ἐγὼ δὲ νῦν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ
“ παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι ἐφ' ὅ τι
“ ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ
“ γενομένῳ, καὶ πλειόνων, κατὰ τὸ εἰκὸς, ἐμπείρῳ. Ἐπαι-
“ δεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ
“ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις, οὐ μόνον ἀδελ-
“ φοῖς, ἀλλὰ καὶ πολίταις, [2] καὶ ὁδῶν καὶ θάκων καὶ
“ λόγων ὑπείκειν· καὶ ὑμᾶς δὲ, ὦ παῖδες, οὕτως ἐξ
“ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾷν, τῶν
“ δὲ νεωτέρων προτετιμῆσθαι· [3] ὡς οὖν παλαιὰ καὶ εἰθι-
“ σμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε.
“ Καὶ σὺ μὲν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε
“ διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Ταναοξάρη,
“ σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων, καὶ
“ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν
“ μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ
“ καταλιπεῖν, εὐδαιμονίαν δέ σοι ἀλυποτέραν. Ὁποίας
“ μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ οὐχ ὁρῶ·
“ ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρ-
“ έσται. [4] Τὸ δὲ δυσκαταπρακτοτέρων ἐρᾷν, καὶ τὸ πολλὰ
“ μεριμνᾷν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζό-
“ μενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ
“ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασι-
“ λεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἃ, σάφ'
“ ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει.
“ [5] Οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ
“ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν,
“ ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον
“ καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι
“ ἀνθρώπους·—πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο,

" ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται·
" —ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ·
" ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ
" μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Εἰ οὖν καὶ ἄλλους τινὰς
" πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, [1]μη-
" δαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου.
" Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ
" σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος
" φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν
" τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων
" ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πα-
" τέρα προσαγορεύοντες,—πῶς οὐ πάντων οὗτοι οἰκειό-
" τατοι; Μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς
" οἰκειότητα ἀδελφοῖς, μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ
" ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ
" οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία.
" Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ
" ἀδελφὸς, μέγας ὢν, οὕτω καλὸν, ὡς ἀδελφῷ; τίς
" δ' ἄλλος τιμήσεται δὴ ἄνδρα μέγα δυνάμενον οὕτως,
" ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ
" μεγάλου ὄντος, οὕτως ὡς τὸν ἀδελφόν; Μήτε οὖν
" θᾶττον μηδείς σου τούτῳ ὑπακουέτω, μήτε προθυμότερον
" παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ,
" οὔτε δεινὰ, ἢ σοί. Ἐννόει δὲ καὶ τάδε, τίνι χαρι-
" σάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι
" δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις;
" τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ
" ἁπάντων κάλλιον προτιμᾶν ἢ τὸν ἀδελφόν; [2]Μόνου
" τοι, ὦ Καμβύση, πρώτου ὄντος ἀδελφοῦ παρ' ἀδελφῷ,
" οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἐφικνεῖται. Ἀλλὰ
" πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι
" καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου
" τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδὲν ἔσομαι ἐγὼ ἔτι,

“ ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν
“ τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ', οἷς διεπράττετο,
“ τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. [1]Τὰς δὲ τῶν ἄδικα
“ παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους
“ τοῖς μιαιφόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς
“ ἀνοσίοις ἐπιπέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς
“ διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ
“ κύριαι ἦσαν; Οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώ-
“ ποτε ἐπείσθην, ὡς ἡ ψυχὴ, ἕως μὲν ἂν ἐν θνητῷ
“ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν.
“ Ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐ-
“ τοῖς χρόνον ᾖ ἡ ψυχὴ, ζῶντα παρέχεται. Οὐδέ γε
“ ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώ-
“ ματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ', ὅταν
“ ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρο-
“ νιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ ἀν-
“ θρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον,
“ πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε
“ ἀπιοῦσα ὁρᾶται. Ἐννοήσατε δὲ, ἔφη, ὅτι ἐγγύτερον
“ μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ
“ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ
“ τότε τι τῶν μελλόντων προορᾷ· τότε γὰρ, ὡς ἔοικε,
“ μάλιστα ἐλευθεροῦται. Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα,
“ ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα,
“ καὶ, τὴν ἐμὴν ψυχὴν καταιδούμενοι, ποιεῖτε ἃ ἐγὼ
“ δέομαι—εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν
“ τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ
“ ὄντας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους,
“ οἳ καὶ τὴν τῶν ὅλων τήνδε τάξιν συνέχουσιν ἀτριβῆ
“ καὶ ἀγήρατον καὶ ἀναμάρτητον, καὶ ὑπὸ κάλλους
“ καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μήτοι ἀσε-
“ βὲς μηδὲν, μηδὲ ἀνόσιον, μήτε ποιήσητε, μήτε βουλεύ-
“ σητε. Μετὰ μέντοι θεοὺς, καὶ ἀνθρώπων τὸ πᾶν γένος

" τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς
" οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ
" ζῆν τὰ ὑμέτερα ἔργα· ἃ, ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν
" ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις
" ἀναδείξει· εἰ δὲ ἐς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ
" πάντων ἀνθρώπων [1]τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε.
" Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ
" πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ
" προσήκοντα. [2]Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω
" οἵους χρὴ πρὸς ἀλλήλους εἶναι·—εἰ δὲ μὴ, καὶ παρὰ
" τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη δι-
" δασκαλία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι
" μὲν γονεῖς παισὶ, φίλοι δὲ [3]ἀδελφοῖς· ἤδη δέ τινες
" τούτων καὶ ἐναντία ἀλλήλοις ἔπραξαν· ὁποτέροις ἂν
" οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ
" αἱρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε.—Καὶ τούτων μὲν
" ἴσως ἤδη ἅλις.—Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν
" τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, μηδὲ
" ἐν ἄλλῳ μηδενί· ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε.*
" Τί γὰρ τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ
" πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ
" τρέφει; Ἐγὼ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ
" νῦν ἡδέως [4]ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος
" ἀνθρώπους. [5]Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαί-
" νεται ἡ ψυχὴ [6]ὅθενπερ, [7]ὡς ἔοικε, πᾶσιν ἄρχεται
" ἀπολειποῦσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς
" ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν
" ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι
" ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα
" ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ
" τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε,
" συνησθησομένους ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι,
" ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ τοῦ θείου

" γίνωμαι, μήτε ἦν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι,
" τούτους εὖ ποιήσαντες [1] ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομί-
" ζεται, ἀποπέμπετε. Καὶ τοῦτο, ἔφη, [2] μέμνησθέ μου
" τελευταῖον,—Τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς
" ἐχθροὺς δυνήσεσθε κολάζειν.—Καὶ χαίρετε, ὦ φίλοι
" παῖδες, καὶ τῇ μητρὶ [3] ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ
" πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε."
Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο,
καὶ οὕτως ἐτελεύτησεν.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Α'.

[Ex Edit. J. G. Schneider. Lips.]

ΔΑΡΕΙΟΥ καὶ Παρυσάτιδος [2]γίγνονται παῖδες δύο· πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος, καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος [3]παρὼν ἐτύγχανε· [4]Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν [5]σατράπην ἐποίησε· καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσαφέρνην ὡς φίλον· καὶ, τῶν Ἑλλήνων δὲ ἔχων [6]ὁπλίτας, ἀνέβη, τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παῤῥάσιον.

Ἐπειδὴ δὲ ἐτελεύτησε Δαρεῖος, καὶ [7]κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ, [8]ἐξαιτησαμένη αὐτὸν, ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δ', ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθεὶς, [9]βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ [10]ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον, ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτὸν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλους εἶναι, ἢ βασιλεῖ.

“ γίνωμαι, μήτε ἦν μηδὲν ἔτι ὦ· ὁπόσοι δ᾽ ἂν ἔλθωσι,
“ τούτους εὖ ποιήσαντες [1]ὁπόσα ἐπ᾽ ἀνδρὶ εὐδαίμονι νομί-
“ ζεται, ἀποπέμπετε. Καὶ τοῦτο, ἔφη, [2]μέμνησθέ μου
“ τελευταῖον,—Τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς
“ ἐχθροὺς δυνήσεσθε κολάζειν.—Καὶ χαίρετε, ὦ φίλοι
“ παῖδες, καὶ τῇ μητρὶ [3]ἀπαγγέλλετε ὡς παρ᾽ ἐμοῦ· καὶ
“ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε.”
Ταῦτ᾽ εἰπὼν καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Α'.

[Ex Edit. J. G. Schneider. Lips.]

ΔΑΡΕΙΟΥ καὶ Παρυσάτιδος [2] γίγνονται παῖδες δύο· πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος, καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος [3] παρὼν ἐτύγχανε· [4] Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν [5] σατράπην ἐποίησε· καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσαφέρνην ὡς φίλον· καὶ, τῶν Ἑλλήνων δὲ ἔχων [6] ὁπλίτας, ἀνέβη, τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παῤῥάσιον.

Ἐπειδὴ δὲ ἐτελεύτησε Δαρεῖος, καὶ [7] κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ, [8] ἐξαιτησαμένη αὐτὸν, ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δ', ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθεὶς, [9] βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ [10] ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον, ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτὸν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλους εἶναι, ἢ βασιλεῖ.

Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ [1] εἴησαν, καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν, [2] ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως [3] ὅ τι ἀπαρασκευαστότατον λάβοι βασιλέα. [4] Ὅτε οὖν ἐποιεῖτο τὴν συλλογὴν, ὁπόσους εἶχε φύλακας ἐν ταῖς πόλεσι, παραγγέλλει τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους, [5] ὅ τι πλείστους καὶ βελτίστους, [6] ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. Καὶ γὰρ ἦσαν Ἰωνικαὶ πόλεις [7] Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι· τότε δ' [8] ἀπέστησαν πρὸς Κῦρον πᾶσαι, πλὴν Μιλήτου. Ἐν Μιλήτῳ δ' ὁ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. Ὁ δὲ Κῦρος, ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ἐπειρᾶτο [9] κατάγειν τοὺς ἐκπεπτωκότας.—Αὕτη οὖν ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. Πρὸς δὲ βασιλέα πέμπων, ἠξίου, ἀδελφὸς ὢν αὐτοῦ, δοθῆναί οἱ ταύτας τὰς πόλεις μᾶλλον, ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν· καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα, ὥστε βασιλεὺς τῆς μὲν πρὸς ἑαυτὸν ἐπιβουλῆς οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· ὥστε οὐδὲν ἤχθετο αὐτῶν πολεμούντων· καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν ὁ Τισσαφέρνης [10] ἐτύγχανεν ἔχων.

Ἄλλο δὲ στράτευμα συνελέγετο αὐτῷ, ἐν Χεῤῥονήσῳ τῇ καταντιπέρας Ἀβύδου, [11] τόνδε τὸν τρόπον·—Κλέαρχος ἦν Λακεδαιμόνιος, φυγάς· τούτῳ συγγενόμενος ὁ Κῦρος, ἠγάσθη τε αὐτὸν, καὶ δίδωσιν αὐτῷ [12] μυρίους δαρεικούς. Ὁ δὲ λαβὼν τὸ χρυσίον, στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων, καὶ ἐπολέμει, ἐκ Χεῤῥονήσου ὁρμώμενος, τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον

οἰκοῦσι, καὶ ἐφίλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ, εἰς τὴν τροφὴν τῶν στρατιωτῶν, αἱ Ἑλλησποντικαὶ πόλεις ἑκοῦσαι. [1] Τοῦτο δ' αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα. Ἀρίστιππος δὲ ὁ Θετταλὸς ἐτύγχανε ξένος ὢν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν, ἔρχεται πρὸς τὸν Κῦρον, καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους, καὶ τριῶν μηνῶν μισθὸν, [2] ὡς οὕτω περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. Ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους, καὶ ἓξ μηνῶν μισθόν· καὶ δεῖται αὐτοῦ [3] μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀντιστασιώτας, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. Οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ [4] ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευμα. Πρόξενον δὲ τὸν Βοιώτιον, ξένον ὄντα αὐτῷ, ἐκέλευσε, λαβόντα ἄνδρας ὅ τι πλείστους, παραγενέσθαι ὡς ἐπὶ Πεισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα παρεχόντων Πεισιδῶν τῇ ἑαυτοῦ χώρᾳ. Σοφαίνετον δὲ τὸν Στυμφάλιον, καὶ Σωκράτην τὸν Ἀχαιὸν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅ τι πλείστους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τῶν Μιλησίων. Καὶ ἐποίουν οὕτως οὗτοι.

Ἐπεὶ δ' ἐδόκει αὐτῷ ἤδη [5] πορεύεσθαι ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς Πεισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικὸν ἐνταῦθα στράτευμα· καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ, λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα· καὶ τῷ Ἀριστίππῳ, [6] συναλλαγέντι πρὸς τοὺς οἴκοι, ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει τοῦ ἐν ταῖς πόλεσι [7] ξενικοῦ, ἥκειν παρήγγειλε, λαβόντα τοὺς ἄνδρας, πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. Ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι· ὑπο-

αχόμενος αὐτοῖς, εἰ καλῶς [1] καταπράξειεν ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσασθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. Οἱ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες τὰ ὅπλα, παρῆσαν εἰς Σάρδεις. Ξενίας μὲν δὴ, τοὺς ἐκ τῶν πόλεων λαβὼν, παρεγένετο εἰς Σάρδεις, ὁπλίτας εἰς τετρακισχιλίους· Πρόξενος δὲ παρῆν, ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους· Σοφαίνετος δὲ ὁ Στυμφάλιος, ὁπλίτας ἔχων χιλίους· Σωκράτης δὲ ὁ Ἀχαιὸς, ὁπλίτας ἔχων ὡς πεντακοσίους· Πασίων δὲ ὁ Μεγαρεὺς, εἰς ἑπτακοσίους ἔχων ἄνδρας, παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης [2] τῶν ἀμφὶ Μίλητον στρατευομένων. Οὗτοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δὲ, κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πεισίδας τὴν παρασκευὴν, πορεύεται [3] ὡς βασιλέα, [4] ᾗ ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ βασιλεὺς μὲν δὴ, ἐπεὶ ἤκουσε παρὰ Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

Κῦρος δὲ, ἔχων οὓς εἶπον, ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ [5] ἐξελαύνει διὰ τῆς Λυδίας [6] σταθμοὺς τρεῖς, [7] παρασάγγας εἴκοσι καὶ δύο, ἐπὶ τὸν Μαίανδρον ποταμόν. Τούτου τὸ εὖρος δύο [8] πλέθρα· γέφυρα δὲ ἐπῆν ἐζευγμένη πλοίοις ἑπτά. Τοῦτον διαβὰς, ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα, παρασάγγας ὀκτὼ, εἰς Κολοσσὰς, πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην. Ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκει Μένων ὁ Θετταλὸς, ἔχων ὁπλίτας χιλίους, καὶ [9] πελταστὰς πεντακοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν, εἰς Κελαινὰς, τῆς Φρυγίας πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα Κύρῳ βασίλεια ἦν, καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης· ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο

ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσὶν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως. Ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ, ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ, ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως, καὶ [1]ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρος εἴκοσι καὶ πέντε ποδῶν. Ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν, νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας. Ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια, καὶ τὴν Κελαινῶν ἀκρόπολιν. Ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος, φυγὰς, ἔχων ὁπλίτας χιλίους, καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους, καὶ τοξότας Κρῆτας διακοσίους. Ἅμα δὲ καὶ Σωσίας παρῆν ὁ Συρακούσιος, ἔχων ὁπλίτας χιλίους· καὶ Σοφαίνετος ὁ Ἀρκὰς, ἔχων ὁπλίτας χιλίους. Ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες, ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς Πέλτας, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς Ξενίας ὁ Ἀρκὰς [2]τὰ Λύκαια ἔθυσε, καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν [3]στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δώδεκα, εἰς Κεραμῶν ἀγορὰν, πόλιν οἰκουμένην, ἐσχάτην ἐν τῇ Μυσίᾳ χώρᾳ. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας τριάκοντα, εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. Ἐνταῦθα

ἔμεινεν ἡμέρας πέντε· καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς, πλέον ἢ τριῶν μηνῶν· καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. [1]Ὁ δὲ ἐλπίδας λέγων διῆγε· καὶ δῆλος ἦν ἀνιώμενος· [2]οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου, ἔχοντα μὴ ἀποδιδόναι. Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα, ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως, παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. Τῇ οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Εἶχε δὲ ἡ Κίλισσα καὶ φύλακας περὶ αὐτὴν Κίλικας καὶ Ἀσπενδίους· ἐλέγετο δὲ Κῦρον καὶ συγγίνεσθαι τῇ Κιλίσσῃ.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, τοῦ Φρυγῶν βασιλέως· ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι, οἴνῳ κεράσας αὐτήν. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς Τυριαῖον, πόλιν οἰκουμένην· ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. Καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα ἑαυτῇ· βουλόμενος οὖν ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ, τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. [3]Ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δὲ ἕκαστον τοὺς ἑαυτοῦ. Ἐτάχθησαν οὖν [4]ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ· τὸ δ' εὐώνυμον, Κλέαρχος καὶ οἱ ἐκείνου· τὸ δὲ μέσον, οἱ ἄλλοι στρατηγοί. Ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους,—οἱ δὲ παρήλαυνον τεταγμένοι κατ' ἴλας καὶ κατὰ τάξεις,—εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ' ἅρματος, καὶ ἡ Κίλισσα [5]ἐφ' ἁρμαμάξης. Εἶχον δὲ πάντες κράνη χαλκᾶ, καὶ χιτῶνας φοινικοῦς, καὶ κνημῖδας, καὶ τὰς ἀσπίδας ἐκκεκαθαρμένας. [6]Ἐπεὶ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης,

πέμψας Πίγρητα, τὸν ἑρμηνέα, παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα, καὶ ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα. Οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλλόμενοι τὰ ὅπλα ἐπῄεσαν. [1]Ἐκ δὲ τούτου, θᾶττον προϊόντων σὺν κραυγῇ, [2]ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς. Τῶν δὲ βαρβάρων φόβος πολλοῖς τε καὶ ἄλλοις, καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐκ τῆς ἁρμαμάξης· καὶ [3]οἱ ἐκ τῆς ἀγορᾶς, καταλιπόντες τὰ ὤνια, ἔφευγον· οἱ δ' Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Ἡ δὲ Κίλισσα, ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος, ἐθαύμαζε. Κῦρος δὲ ἥσθη, τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν, εἰς Ἰκόνιον, τῆς Φρυγίας πόλιν ἐσχάτην. Ἐνταῦθα ἔμεινε τρεῖς ἡμέρας. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Λυκαονίας, σταθμοὺς πέντε, παρασάγγας τριάκοντα. Ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς Ἕλλησιν, ὡς πολεμίαν οὖσαν. Ἐντεῦθεν ὁ Κῦρος τὴν Κίλισσαν εἰς Κιλικίαν ἀποπέμπει, τὴν ταχίστην ὁδόν· καὶ συνέπεμψεν αὐτῇ στρατιώτας, οὓς Μένων εἶχε, καὶ αὐτόν. Κῦρος δέ, μετὰ τῶν ἄλλων, ἐξελαύνει διὰ Καππαδοκίας σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσι καὶ πέντε, πρὸς Δάναν, πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν ᾧ Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην, Μεγαφέρνην, [4]φοινικιστὴν βασίλειον, καὶ [5]ἕτερόν τινα τῶν ὑπάρχων δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν αὐτῷ. Ἐντεῦθεν ἐπειρῶντο [6]εἰσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτός, ὀρθία ἰσχυρῶς, καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν. Ἐλέγετο δὲ καὶ Συέννεσιν εἶναι

ἐπὶ τῶν ἄκρων, φυλάττοντα τὴν εἰσβολὴν, δι' ὃ ἔμεινεν ἡμέραν ἐν τῷ πεδίῳ. Τῇ δ' ὑστεραίᾳ ἧκεν ἄγγελος λέγων, ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, [1] ἐπεὶ ᾔσθετο τό τε Μένωνος στράτευμα ὅτι ἤδη ἐν Κιλικίᾳ εἴη εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας ἀπὸ Ἰωνίας εἰς Κιλικίαν Ταμὼν ἔχοντα, τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου. Κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρη, οὐδενὸς κωλύοντος, καὶ εἶλε τὰς σκηνὰς, οὗ ἐφύλαττον οἱ Κίλικες. Ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα, καλὸν καὶ ἐπίρρυτον, καὶ δένδρων παντοδαπῶν ἔμπλεων, καὶ ἀμπέλων· πολὺ δὲ καὶ [2] σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει. Ὄρος δ' αὐτὸ περιέχει ὀχυρὸν, καὶ ὑψηλὸν πάντῃ ἐκ θαλάττης εἰς θάλατταν.

Καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου, ἤλασε σταθμοὺς τέσσαρας, παρασάγγας πέντε καὶ εἴκοσιν, εἰς Ταρσοὺς, πόλιν τῆς Κιλικίας μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἦσαν τὰ Συεννέσιος βασίλεια, τοῦ Κιλίκων βασιλέως· διὰ μέσης δὲ τῆς πόλεως ῥεῖ ποταμὸς, Κύδνος ὄνομα, εὖρος δύο πλέθρων. Ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες, μετὰ Συεννέσιος, [3] εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη· πλὴν οἱ τὰ καπηλεῖα ἔχοντες· ἔμειναν δὲ καὶ οἱ παρὰ τὴν θάλατταν οἰκοῦντες ἐν Σόλοις καὶ ἐν Ἰσσοῖς. Ἐπύαξα δὲ, ἡ Συεννέσιος γυνὴ, προτέρα Κύρου πέντε ἡμέραις εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρῶν τῶν εἰς τὸ πεδίον, δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώλοντο· οἱ μὲν ἔφασαν ἁρπάζοντάς τι κατακοπῆναι ὑπὸ τῶν Κιλίκων· οἱ δὲ, ὑπολειφθέντας, καὶ οὐ δυναμένους εὑρεῖν τὸ ἄλλο στράτευμα, οὐδὲ τὰς ὁδοὺς, εἶτα πλανωμένους ἀπολέσθαι· ἦσαν δὲ οὗτοι ἑκατὸν ὁπλῖται. Οἱ δ' ἄλλοι, ἐπειδὴ ἧκον, τήν τε πόλιν τοὺς Ταρσοὺς διήρπασαν, διὰ τὸν

ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ. Κῦρος δὲ, ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο Συέννεσιν πρὸς ἑαυτόν· ὁ δὲ οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη, οὔτε τότε Κύρῳ ἰέναι ἤθελε, πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε, καὶ πίστεις ἔλαβε. Μετὰ δὲ ταῦτα, ἐπεὶ συνεγένοντο ἀλλήλοις, Συέννεσις μὲν Κύρῳ ἔδωκε χρήματα πολλὰ εἰς τὴν στρατιὰν, Κῦρος δ' ἐκείνῳ δῶρα, ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον, καὶ στρεπτὸν χρυσοῦν, καὶ ψέλια, καὶ ἀκινάκην χρυσοῦν, καὶ στολὴν Περσικὴν,—[1]καὶ τὴν χώραν μηκέτι ἁρπάζεσθαι· τὰ δὲ ἡρπασμένα ἀνδράποδα, ἤν που ἐντυγχάνωσιν, ἀπολαμβάνειν.

Ἐνταῦθ' ἔμεινε Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν· οἱ γὰρ στρατιῶται [2]οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω· ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι, μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν. Πρῶτος δὲ Κλέαρχος τοὺς αὑτοῦ στρατιώτας [3]ἐβιάζετο ἰέναι· οἱ δὲ αὐτόν τε ἔβαλλον, καὶ τὰ ὑποζύγια τὰ ἐκείνου, ἐπεὶ ἤρξατο προϊέναι. Κλέαρχος δὲ τότε μὲν μικρὸν ἐξέφυγε τοῦ μὴ καταπετρωθῆναι· ὕστερον δὲ, ἐπεὶ ἔγνω ὅτι οὐ δυνήσεται βιάσασθαι, συνήγαγεν ἐκκλησίαν τῶν αὑτοῦ στρατιωτῶν· καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς·—οἱ δὲ ὁρῶντες ἐθαύμαζον καὶ ἐσιώπων·—εἶτα ἔλεξε τοιάδε·

"Ἄνδρες στρατιῶται, μὴ θαυμάζετε, ὅτι [4]χαλεπῶς "φέρω τοῖς παροῦσι πράγμασιν. Ἐμοὶ γὰρ Κῦρος ξένος "ἐγένετο, καί με φεύγοντα ἐκ τῆς πατρίδος τά τε "ἄλλα ἐτίμησε, καὶ μυρίους ἔδωκε δαρεικούς· οὓς ἐγὼ "λαβὼν, οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ, [5]ἀλλ' οὐδὲ "καθηδυπάθησα, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. Καὶ πρῶ-"τον μὲν πρὸς τοὺς Θρᾷκας ἐπολέμησα, καὶ ὑπὲρ τῆς "Ἑλλάδος ἐτιμωρούμην μεθ' ὑμῶν, ἐκ τῆς Χεῤῥονήσου

" αὐτοὺς ἐξελαύνων, [1]βουλομένους ἀφαιρεῖσθαι τοὺς
" ἐνοικοῦντας Ἕλληνας τὴν γῆν. Ἐπειδὴ δὲ Κῦρος ἐκάλει,
" λαβὼν ὑμᾶς ἐπορευόμην, ἵνα, εἴ τι δέοιτο, [2]ὠφελοίην
" αὐτὸν, ἀνθ' ὧν εὖ ἔπαθον ὑπ' ἐκείνου. Ἐπεὶ δὲ ὑμεῖς
" οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δή μοι, ἢ ὑμᾶς
" προδόντα τῇ Κύρου φιλίᾳ χρῆσθαι, ἢ, πρὸς ἐκεῖνον
" ψευσάμενον, [3]μεθ' ὑμῶν ἰέναι·—εἰ μὲν δὴ δίκαια
" ποιήσω, οὐκ οἶδα, αἱρήσομαι δ' οὖν ὑμᾶς, καὶ σὺν ὑμῖν,
" ὅ τι ἂν δέῃ, πείσομαι. Καὶ οὔποτ' ἐρεῖ οὐδεὶς, ὡς
" ἐγὼ Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβάρους, προδοὺς τοὺς
" Ἕλληνας, τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην. Ἀλλὰ
" ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι, οὐδὲ ἕπεσθαι,
" ἐγὼ σὺν ὑμῖν ἕψομαι, καὶ ὅ τι ἂν δέῃ πείσομαι. [4]Νο-
" μίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα, καὶ φίλους,
" καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν εἶναι τίμιος, ὅπου
" ἂν ὦ· ὑμῶν δ' ἐρημωθεὶς, οὐκ ἂν ἱκανὸς εἶναι οἶμαι,
" οὔτ' ἂν φίλον ὠφελῆσαι, οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι.
" [5]Ὡς ἐμοῦ οὖν ἰόντος, ὅπῃ ἂν καὶ ὑμεῖς, οὕτω τὴν γνώμην
" ἔχετε." Ταῦτα εἶπεν· οἱ δὲ στρατιῶται οἵ τε αὐτοῦ
ἐκείνου, καὶ οἱ ἄλλοι, ταῦτα ἀκούσαντες, ὅτι οὐ φαίη
παρὰ βασιλέα πορεύεσθαι, ἐπῄνεσαν· παρὰ δὲ Ξενίου καὶ
Πασίωνος πλείους ἢ δισχίλιοι, λαβόντες τὰ ὅπλα καὶ τὰ
σκευοφόρα, ἐστρατοπεδεύσαντο παρὰ Κλεάρχῳ.

[6]Κῦρος δὲ τούτοις ἀπορῶν τε καὶ λυπούμενος, μετεπέμπετο τὸν Κλέαρχον· ὁ δ' ἰέναι μὲν οὐκ ἤθελε, λάθρα δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον, [7]ἔλεγε θαῤῥεῖν, [8]ὡς καταστησομένων τούτων εἰς τὸ δέον· μεταπέμπεσθαι δ' ἐκέλευεν αὐτόν· αὐτὸς δὲ οὐκ ἔφη ἰέναι. Μετὰ δὲ ταῦτα συναγαγὼν τοὺς μεθ' ἑαυτοῦ στρατιώτας,—καὶ τοὺς προσελθόντας αὐτῷ, καὶ τῶν ἄλλων τὸν βουλόμενον,—ἔλεξε τοιάδε·

" Ἄνδρες στρατιῶται, τὰ μὲν δὴ Κύρου, δῆλον ὅτι, οὕτως

“ἔχει πρὸς ἡμᾶς, ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον· οὔτε γὰρ ἡμεῖς ἔτι ἐκείνου στρατιῶται,—ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ,—οὔτε ἐκεῖνος ἡμῖν ἔτι μισθοδότης. Ὅτι μέντοι ἀδικεῖσθαι νομίζει ὑφ᾽ ἡμῶν, οἶδα· ὥστε καὶ μεταπεμπομένου αὐτοῦ, οὐκ ἐθέλω ἐλθεῖν, [1] τὸ μὲν μέγιστον, αἰσχυνόμενος, ὅτι σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν· ἔπειτα δὲ καὶ δεδιὼς, μὴ λαβών με, [2] δίκην ἐπιθῇ, ὧν νομίζει ὑπ᾽ ἐμοῦ ἠδικῆσθαι. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν, οὐδ᾽ ἀμελεῖν ἡμῶν αὐτῶν, ἀλλὰ βουλεύεσθαι ὅ τι χρὴ ποιεῖν ἐκ τούτων. Καὶ εἴτε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ἀσφαλέστατα μενοῦμεν· εἴτε δὴ δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα ἄπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν· ἄνευ γὰρ τούτων, οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. Ὁ δὲ ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ· χαλεπώτατος δ᾽ ἐχθρὸς, ᾧ ἂν πολέμιος ᾖ. Ἔτι δὲ δύναμιν ἔχει καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικὴν, ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα· καὶ γὰρ οὐδὲ πόῤῥω δοκοῦμέν μοι αὐτοῦ καθέζεσθαι· ὥστε ὥρα λέγειν ὅ τι τὶς γιγνώσκει ἄριστον εἶναι.” Ταῦτ᾽ εἰπὼν, ἐπαύσατο.

Ἐκ δὲ τούτου ἀνίσταντο, οἱ μὲν ἐκ τοῦ αὐτοματοῦ λέξοντες ἃ ἐγίγνωσκον· οἱ δὲ, καὶ ὑπ᾽ ἐκείνου ἐγκέλευστοι, ἐπιδεικνύντες [3] οἵα εἴη ἀπορία, ἄνευ τῆς Κύρου γνώμης, καὶ μένειν καὶ ἀπιέναι. Εἷς δὲ δὴ εἶπε, προσποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλλάδα, στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν· τὰ δ᾽ ἐπιτήδεια ἀγοράζεσθαι,—ἡ δ᾽ ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι,—καὶ [4] συσκευάζεσθαι· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον, ὅστις διὰ φιλίας τῆς χώρας ἀπάξει· ἐὰν δὲ μηδὲ ἡγεμόνα

διδῷ, συντάττεσθαι [1] τὴν ταχίστην· πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως [2] μὴ φθάσωσι μήτε ὁ Κῦρος μήτε οἱ Κίλικες καταλαβόντες· ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἡρπακότες Οὗτος μὲν δὴ τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος εἶπε τοσοῦτον·

“[3] Ὡς μὲν στρατηγήσοντα ἐμὲ ταύτην τὴν στρατηγίαν, μηδεὶς ὑμῶν λεγέτω·—πολλὰ γὰρ ἐνορῶ, δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον·—[4] ὡς δὲ τῷ ἀνδρὶ, ὃν ἂν ἕλησθε, πείσομαι ᾗ δυνατὸν μάλιστα· ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι, ὥς τις καὶ ἄλλος μάλιστα ἀνθρώπων.” Μετὰ δὲ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς μὲν τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ πάλιν τὸν στόλον Κύρου μὴ ποιουμένου· ἐπιδεικνὺς δὲ, ὡς “ εὔηθες εἴη, ἡγεμόνα αἰτεῖν παρὰ τούτου, [5] ᾧ λυμαινόμεθα τὴν πρᾶξιν. Εἰ δέ τι καὶ τῷ ἡγεμόνι πιστεύσομεν, ᾧ ἂν Κῦρος δῷ, τί κωλύει καὶ τὰ ἄκρα ἡμῖν κελεύειν Κύρον προκαταλαμβάνειν; Ἐγὼ γὰρ [6] ὀκνοίην μὲν ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ ἂν ἡμῖν δοίη, μὴ ἡμᾶς αὐταῖς ταῖς τριήρεσι καταδύσῃ· φοβοίμην δ' ἂν τῷ ἡγεμόνι, ᾧ ἂν δοίη, ἕπεσθαι, μὴ ἡμᾶς ἀγάγοι, ὅθεν οὐχ οἷόν τε ἔστι ἐξελθεῖν· βουλοίμην δ' ἂν, ἄκοντος ἀπιὼν Κύρου, λαθεῖν αὐτὸν ἀπελθών· ὃ οὐ δυνατόν ἐστιν.—Ἀλλ' ἔγωγε φημὶ ταῦτα μὲν φλυαρίας εἶναι· δοκεῖ δέ μοι, ἄνδρας ἐλθόντας πρὸς Κῦρον, οἵτινες ἐπιτήδειοι, σὺν Κλεάρχῳ, ἐρωτᾶν ἐκεῖνον, τί βούλεται ἡμῖν χρήσασθαι· κἂν μὲν ᾖ ἡ πρᾶξις παραπλησία οἵαπερ καὶ πρότερον ἐχρῆτο τοῖς ξένοις, ἕπεσθαι καὶ ἡμᾶς, καὶ μὴ κακίους εἶναι τῶν πρόσθεν τούτῳ συναναβάντων· ἐὰν δὲ μείζων ἡ πρᾶξις τῆς πρόσθεν φαίνηται, καὶ ἐπιπονωτέρα καὶ ἐπικινδυνοτέρα, ἀξιοῦν ἢ πείσαντα ἡμᾶς ἄγειν, ἢ πεισθέντα [7] πρὸς φιλίαν ἀφιέναι· οὕτω γὰρ καὶ ἑπόμενοι ἂν φίλοι αὐτῷ καὶ πρόθυμοι ἑποίμεθα, καὶ ἀπιόντες, ἀσφαλῶς ἂν ἀπίοιμεν·—ὅ τι δ' ἂν

πρὸς ταῦτα λέγῃ, ἀπαγγεῖλαι δεῦρο· ἡμᾶς δ' ἀκούσαντας πρὸς ταῦτα βουλεύεσθαι."

Ἔδοξε ταῦτα καὶ ἄνδρας ἑλόμενοι σὺν Κλεάρχῳ πέμπουσιν, οἳ ἠρώτων Κῦρον τὰ δόξαντα τῇ στρατιᾷ. Ὁ δ' ἀπεκρίνατο ὅτι ἀκούοι Ἀβροκόμαν, ἐχθρὸν ἄνδρα, ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς· πρὸς τοῦτον οὖν ἔφη βούλεσθαι ἐλθεῖν· κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρῄζειν ἐπιθεῖναι αὐτῷ· ἢν δὲ φεύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευόμεθα. Ἀκούσαντες δὲ ταῦτα οἱ αἱρετοὶ, ἀναγγέλλουσι τοῖς στρατιώταις· τοῖς δὲ ὑποψία μὲν ἦν, [1] ὅτι ἄγει πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. [2] Προσαιτοῦσι δὲ μισθὸν ὁ Κῦρος ὑπισχνεῖται [3] ἡμιόλιον πᾶσι δώσειν οὗ πρότερον ἔφερον, ἀντὶ δαρεικοῦ, τρία ἡμιδαρεικὰ, [4] τοῦ μηνὸς, τῷ στρατιώτῃ· ὅτι δ' ἐπὶ βασιλέα ἄγοι, οὐδ' ἐνταῦθ' ἤκουεν οὐδεὶς, ἔν γε τῷ φανερῷ.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, ἐπὶ τὸν Σάρον ποταμὸν, οὗ ἦν τὸ εὖρος τρία πλέθρα. Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας πέντε, ἐπὶ τὸν Πύραμον ποταμὸν, οὗ τὸ εὖρος στάδιον. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας πεντεκαίδεκα, εἰς Ἰσσοὺς, τῆς Κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάττῃ, οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν ἐκ Πελοποννήσου νῆες τριάκοντα καὶ πέντε, καὶ ἐπὶ ταύταις ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος. Ἡγεῖτο δ' αὐτῶν Ταμὼς Αἰγύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς Κύρου πέντε καὶ εἴκοσιν· αἷς ἐπολιόρκει Μίλητον, ὅτι Τισσαφέρνῃ φίλη ἦν, καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν. Παρῆν δὲ καὶ Χειρίσοφος ὁ Λακεδαιμόνιος ἐπὶ τῶν νεῶν, μετάπεμπτος ὑπὸ Κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας, ὧν ἐστρατήγει παρὰ Κύρῳ. Αἱ δὲ νῆες ὥρμουν κατὰ τὴν Κύρου σκηνήν.

Ἐνταῦθα καὶ οἱ παρ' Ἀβροκόμα μισθοφόροι Ἕλληνες [1]ἀποστάντες ἦλθον παρὰ Κῦρον, τετρακόσιοι ὁπλῖται, καὶ συνεστρατεύοντο ἐπὶ βασιλέα.

Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας πέντε, ἐπὶ πύλας τῆς Κιλικίας καὶ τῆς Συρίας. Ἦσαν δὲ ταῦτα δύο τείχη· καὶ τὸ μὲν ἔσωθεν, πρὸ τῆς Κιλικίας, Συέννεσις εἶχε καὶ Κιλίκων φυλακή· τὸ δ' ἔξω, τὸ πρὸ τῆς Συρίας, βασιλέως ἐλέγετο φυλακὴ φυλάττειν. Διὰ μέσου δὲ τούτων ῥεῖ ποταμὸς, Κέρσος ὄνομα, εὖρος πλέθρου. Ἅπαν δὲ τὸ μέσον τῶν τειχῶν, ἦσαν στάδιοι τρεῖς· καὶ παρελθεῖν οὐκ ἦν βίᾳ· ἦν γὰρ ἡ πάροδος στενὴ, καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα, ὕπερθεν δὲ ἦσαν [2]πέτραι ἠλίβατοι· ἐπὶ δὲ τοῖς τείχεσιν ἀμφοτέροις [3]ἐφειστήκεσαν πύλαι. Ταύτης ἕνεκα τῆς παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας [4]ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν, καὶ βιασάμενοι τοὺς πολεμίους παρέλθοιεν, εἰ φυλάττοιεν ἐπὶ ταῖς Συρίαις πύλαις· ὅπερ ᾤετο ποιήσειν τὸν Ἀβροκόμαν ὁ Κῦρος, ἔχοντα πολὺ στράτευμα. Ἀβροκόμας δὲ οὐ [5]τοῦτο ἐποίησεν, ἀλλ' ἐπεὶ ἤκουε Κῦρον ἐν Κιλικίᾳ ὄντα, ἀναστρέψας ἐκ Φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων, ὡς ἐλέγετο, τριάκοντα μυριάδας στρατιᾶς.

Ἐντεῦθεν ἐξελαύνει, διὰ Συρίας, σταθμὸν ἕνα, παρασάγγας πέντε, εἰς Μυρίανδρον, πόλιν οἰκουμένην ὑπὸ Φοινίκων, ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον δ' ἦν τὸ χωρίον, καὶ ὥρμουν αὐτόθι ὁλκάδες πολλαί. Ἐνταῦθ' ἔμειναν ἡμέρας ἑπτά· καὶ Ξενίας ὁ Ἀρκὰς στρατηγὸς, καὶ Πασίων ὁ Μεγαρεὺς, ἐμβάντες εἰς πλοῖον, καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι, ἀπέπλευσαν, [6]ὡς μέντοι πλείστοις ἐδόκει, φιλοτιμηθέντες, ὅτι τοὺς στρατιώτας αὐτῶν παρὰ Κλέαρχον ἀπελθόντας, ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν, καὶ οὐ πρὸς βασιλέα, εἴα Κῦρος τὸν Κλέαρχον ἔχειν.

Ἐπεὶ δ' οὖν ἦσαν ἀφανεῖς, διῆλθεν ὁ λόγος, ὅτι διώκοι αὐτοὺς Κῦρος τριήρεσι· καὶ οἱ μὲν εὔχοντο, ὡς δολίους ὄντας, αὐτοὺς ληφθῆναι· [1]οἱ δ' ᾤκτειρον, εἰ ἁλώσοιντο.

Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς, εἶπεν, "Ἀπολελοίπασιν ἡμᾶς Ξενίας καὶ Πασίων· ἀλλ' εὖ γε μέντοι ἐπιστάσθωσαν, ὅτι [2]οὔτε ἀποδεδράκασιν, οἶδα γὰρ ὅπη οἴχονται, οὔτε ἀποπεφεύγασιν, ἔχω γὰρ τριήρεις, ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον. Ἀλλὰ, μὰ τοὺς θεοὺς, οὐκ ἔγωγε αὐτοὺς διώξω· οὐδὲ ἐρεῖ οὐδεὶς, ὡς ἐγὼ, ἕως μὲν ἂν παρῇ τις, χρῶμαι· ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβὼν, καὶ αὐτοὺς κακῶς ποιῶ, καὶ τὰ χρήματα ἀποσυλῶ. Ἀλλὰ [3]ἰόντων εἰδότες ὅτι κακίους εἰσὶ περὶ ἡμᾶς, ἢ ἡμεῖς περὶ ἐκείνους. Καί τοι ἔχω γε αὐτῶν καὶ τέκνα καὶ γυναῖκας, ἐν Τράλλεσι φρουρούμενα· [4]ἀλλ' οὐδὲ τούτων στερήσονται· ἀλλ' ἀπολήψονται, τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς." Καὶ ὁ μὲν ταῦτα εἶπεν· οἱ δ' Ἕλληνες, εἴ τις καὶ ἀθυμότερος ἦν πρὸς τὴν ἀνάβασιν, ἀκούσαντες τὴν Κύρου ἀρετὴν, ἥδιον καὶ προθυμότερον συνεπορεύοντο.

Μετὰ δὲ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέσσαρας, παρασάγγας εἴκοσιν, ἐπὶ τὸν Χάλον ποταμὸν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον, καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ τὰς περιστεράς. Αἱ δὲ κῶμαι, ἐν αἷς ἐσκήνουν, Παρυσάτιδος ἦσαν, [5]εἰς ζώνην δεδομέναι. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε, παρασάγγας τριάκοντα, ἐπὶ τὰς πηγὰς τοῦ Δαράδακος ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου. Ἐνταῦθα ἦσαν τὰ Βελέσιος βασίλεια, τοῦ Συρίας ἄρξαντος, καὶ παράδεισος πάνυ μέγας καὶ καλὸς, ἔχων πάντα, ὅσα ὧραι φύουσι.* Κῦρος δ' αὐτὸν ἐξέκοψε, καὶ τὰ βασίλεια κατέκαυσεν. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρα-

σάγγας πεντεκαίδεκα, ἐπὶ τὸν Εὐφράτην ποταμὸν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· [1] καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων, Θάψακος ὀνόματι. Ἐνταῦθα ἔμειναν ἡμέρας πέντε· καὶ Κῦρος, μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν, εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις, καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ δὲ ποιήσαντες ἐκκλησίαν, ἀπήγγελλον ταῦτα· οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτα εἰδότας κρύπτειν· καὶ οὐκ ἔφασαν ἰέναι, ἂν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ καὶ τοῖς προτέροις μετὰ Κύρου ἀναβᾶσι παρὰ τὸν πατέρα τοῦ Κύρου· καὶ ταῦτα, οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ καλοῦντος τοῦ πατρὸς Κῦρον. Ταῦτα οἱ στρατηγοὶ ἀπήγγελλον· ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὰν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ, μέχρις ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. Τὸ μὲν δὴ πολὺ τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη.—Μένων δὲ, πρὶν δῆλον εἶναι τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον ἕψονται Κύρῳ, ἢ οὔ, συνέλεξε τὸ αὑτοῦ στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε·

“ Ἄνδρες, ἐὰν ἐμοὶ πεισθῆτε, οὔτε κινδυνεύσαντες,
“ οὔτε πονήσαντες, τῶν ἄλλων πλέον προτιμήσεσθε στρα-
“ τιωτῶν ὑπὸ Κύρου.—Τί οὖν κελεύω ποιῆσαι;—Νῦν
“ δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ
“ οὖν φημὶ ἡμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποτα-
“ μὸν, πρὶν δῆλον εἶναι, ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-
“ κρινοῦνται Κύρῳ. Ἢν μὲν γὰρ [2] ψηφίσωνται ἕπεσθαι,
“ ὑμεῖς δόξετε αἴτιοι εἶναι, ἄρξαντες τοῦ διαβαίνειν, καὶ
“ ὡς προθυμοτάτοις ὑμῖν οὖσι χάριν εἴσεται Κῦρος, καὶ
“ ἀποδώσει·—ἐπίσταται δ' εἴ τις καὶ ἄλλος·—ἢν δ'

" ἀποψηφίσωνται οἱ ἄλλοι, [1]ἄπιμεν μὲν πάντες εἰς
" τοὔμπαλιν· ὑμῖν δ', ὡς μόνοις πειθομένοις, πιστοτάτοις
" χρήσεται, καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας· καὶ ἄλ-
" λου οὕτινος ἂν δέησθε, οἶδα ὅτι [2]ὡς φίλοι τεύξεσθε
" Κύρου." Ἀκούσαντες ταῦτα, ἐπείθοντο, καὶ διέβησαν
πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δ' ἐπεὶ ᾔσθετο
διαβεβηκότας, ἥσθη τε, καὶ τῷ στρατεύματι πέμψας
Γλοῦν, εἶπεν· " Ἐγὼ μὲν, ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ·
" ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἐμοὶ μελήσει· ἢ
" μηκέτι με Κῦρον νομίζετε." Οἱ μὲν δὴ στρατιῶται,
ἐν ἐλπίσι μεγάλαις ὄντες, εὔχοντο αὐτὸν εὐτυχῆσαι·
Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῆ.
Ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὴ καὶ [3]τὸ ἄλλο
στράτευμα αὐτῷ ἅπαν· καὶ τῶν διαβαινόντων τὸν
ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μασθῶν ὑπὸ τοῦ
ποταμοῦ. Οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐ πώποθ' οὗτος
ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλα
πλοίοις· ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ
Κῦρος διαβῇ. Ἐδόκει δὲ θεῖον εἶναι, καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ, ὡς βασιλεύσοντι.

Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Συρίας, σταθμοὺς ἐννέα, παρασάγγας πεντήκοντα, καὶ ἀφικνεῖται πρὸς τὸν Ἀράξην ποταμόν. Ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ, μεσταὶ σίτου καὶ οἴνου. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, σταθμοὺς ἐρήμους πέντε, παρασάγγας τριάκοντα καὶ πέντε. Ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον, ἅπαν ὁμαλὸν ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη, ὥσπερ ἀρώματα· δένδρον δ' οὐδὲν ἐνῆν. Θηρία δὲ παντοῖα, πλεῖστοι μὲν ὄνοι ἄγριοι, οὐκ ὀλίγαι δὲ [4]στρουθοὶ αἱ μεγάλαι· ἐνῆσαν δὲ καὶ

ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐδίωκον ἐνίοτε. Καὶ οἱ μὲν ὄνοι, ἐπεί τις διώκοι, προδραμόντες [1]ἂν εἱστήκεσαν·—πολὺ γὰρ τοῦ ἵππου θᾶττον ἔτρεχον·—καὶ πάλιν ἐπεὶ πλησιάζοι ὁ ἵππος, [2]ταὐτὸν ἐποίουν· [3]ὥστε οὐκ ἦν λαβεῖν, εἰ μὴ διαστάντες οἱ ἱππεῖς θηρῷεν διαδεχόμενοι τοῖς ἵπποις. Τὰ δὲ κρέα τῶν ἁλισκομένων ἦν παραπλήσια τοῖς ἐλαφείοις, ἁπαλώτερα δέ. Στρουθὸν δὲ οὐδεὶς ἔλαβεν· οἱ δὲ διώξαντες τῶν ἱππέων ταχὺ ἐπαύοντο· [4]πολὺ γὰρ ἀπεσπᾶτο ἀποφεύγουσα, τοῖς μὲν ποσὶ δρόμῳ, ταῖς δ᾽ πτέρυξιν ἄρασα, ὥσπερ ἱστίῳ χρωμένη. Τὰς δὲ ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν· πέτονται γὰρ βραχὺ, ὥσπερ πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. Τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν.

Πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρας, ἀφικνοῦνται ἐπὶ τὸν Μασκᾶν ποταμὸν, τὸ εὖρος πλεθριαῖον. Ἐνταῦθα ἦν [5]πόλις ἐρήμη, μεγάλη, ὄνομα δὲ αὐτῇ Κορσωτή· περιεῤῥεῖτο δὲ αὕτη ὑπὸ τοῦ Μασκᾶ κύκλῳ. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρήμους τρεισκαίδεκα, παρασάγγας ἐννενήκοντα, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. Ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ· οὐ γὰρ ἦν χόρτος, οὐδὲ ἄλλο δένδρον οὐδὲν, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα· οἱ δὲ ἐνοικοῦντες, [6]ὄνους ἀλέτας περὶ τὸν ποταμὸν ὀρύττοντες καὶ ποιοῦντες, εἰς Βαβυλῶνα ἦγον καὶ ἐπώλουν, καὶ ἀνταγοράζοντες σῖτον ἔζων. Τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπε, καὶ πρίασθαι οὐκ ἦν, εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγορᾷ, [7]ἐν τῷ Κύρου βαρβαρικῷ, τὴν καπίθην [8]ἀλεύρων ἢ ἀλφίτων, τεττάρων σίγλων. [9]Ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιοβόλιον Ἀττικούς· ἡ δὲ καπίθη δύο χοίνικας Ἀττικοὺς ἐχώρει. Κρέα οὖν

ἐσθίοντες οἱ στρατιῶται διεγίγνοντο. [1] Ἦν δὲ τούτων τῶν σταθμῶν, οὓς πάνυ μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο διατελέσαι ἢ πρὸς χιλόν. Καὶ δή ποτε στενοχωρίας καὶ πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου, [2] ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις, καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα, [3] λαβόντας τοῦ βαρβαρικοῦ στρατοῦ συνεκβιβάζειν τὰς ἁμάξας. Ἐπεὶ δὲ ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας. Ἔνθα δὴ μέρος τι τῆς εὐταξίας ἦν θεάσασθαι. Ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ὅπου ἕκαστος [4] ἔτυχεν ἑστηκὼς, ἵεντο, ὥσπερ ἂν δράμοι τις περὶ νίκης, καὶ μάλα κατὰ πρανοῦς γηλόφου· ἔχοντες τούτους τε τοὺς πολυτελεῖς χιτῶνας, καὶ τὰς ποικίλας ἀναξυρίδας· ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τῷ τραχήλῳ καὶ ψέλια ἐπὶ τῶν χειρῶν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλὸν, θᾶττον ἢ ὥς τις ἂν ᾤετο, μετεώρους ἐξεκόμισαν τὰς ἁμάξας. Τὸ δὲ σύμπαν, δῆλος ἦν Κῦρος σπεύδων πᾶσαν τὴν ὁδὸν, καὶ οὐ διατρίβων, ὅπου μὴ ἐπισιτισμοῦ ἕνεκα, ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο· νομίζων ἂν, [5] ὅσῳ μὲν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μάχεσθαι· ὅσῳ δὲ σχολαιότερον, τοσούτῳ πλέον βασιλεῖ συναγείρεσθαι στράτευμα. Καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν ἡ βασιλέως ἀρχὴ, πλήθει μὲν χώρας καὶ ἀνθρώπων, ἰσχυρὰ οὖσα, τοῖς δὲ μήκεσι τῶν ὁδῶν, καὶ τῷ διεσπάσθαι τὰς δυνάμεις, ἀσθενὴς, εἴ τις διὰ ταχέων τὸν πόλεμον ποιοῖτο.

Πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ, κατὰ τοὺς ἐρήμους σταθμοὺς, ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε· διφθέρας, ἃς εἶχον στεγάσματα, ἐπίμπλασαν χόρτου κούφου· εἶτα [6] συνῆγον καὶ συνέσπων, ὡς

μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ. ἐπὶ τούτων διέβαινον, καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος, καὶ σῖτον μελίνης· τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. Ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ τῶν τοῦ Κλεάρχου, ὁ Κλέαρχος, κρίνας ἀδικεῖν τὸν τοῦ Μένωνος, πληγὰς ἐνέβαλεν· ὁ δ', ἐλθὼν πρὸς τὸ ἑαυτοῦ στράτευμα, ἔλεγεν· ἀκούσαντες δ' οἱ στρατιῶται, ἐχαλέπαινον, καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλεάρχῳ. Τῇ δ' αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ, καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγορὰν, ἀφιππεύει ἐπὶ τὴν αὐτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος, σὺν ὀλίγοις τοῖς περὶ αὐτόν·—Κῦρος δ' οὔπω ἧκεν, ἀλλ' ἔτι [1]προσήλαυνε·—τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε τὸν Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ· καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν· ἄλλος δὲ λίθῳ, καὶ ἄλλος· εἶτα πολλοὶ, κραυγῆς γενομένης. Ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας ἐκέλευσεν αὐτοῦ μεῖναι, τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας· αὐτὸς δὲ λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς ἱππέας, οἳ ἦσαν αὐτῷ ἐν τῷ στρατεύματι πλείους ἢ τετταράκοντα,—τούτων δ' οἱ πλεῖστοι Θρᾷκες,—ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκπεπλῆχθαι, καὶ αὐτὸν Μένωνα, καὶ τρέχειν ἐπὶ τὰ ὅπλα. Οἱ δὲ καὶ [2]ἕστασαν ἀποροῦντες τῷ πράγματι. Ὁ δὲ Πρόξενος—[3]ἔτυχε γὰρ ὕστερος προσιὼν, καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν—εὐθὺς οὖν [4]εἰς τὸ μέσον ἀμφοτέρων ἄγων, ἔθετο τὰ ὅπλα, καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα. Ὁ δὲ ἐχαλέπαινεν, ὅτι, αὐτοῦ ὀλίγου δεήσαντος καταλευσθῆναι, πρᾴως λέγοι τὸ αὐτοῦ πάθος· ἐκέλευέ τε αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι. Ἐν τούτῳ δὲ, ἐπεὶ ἧκε Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα, εὐθὺς ἔλαβε τὰ παλτὰ εἰς τὰς χεῖ-

ρας, καὶ σὺν τοῖς παροῦσι τῶν πιστῶν, ἧκεν [1]ἐλαύνων εἰς τὸ μέσον, καὶ λέγει ὧδε· "Κλέαρχε καὶ Πρόξενε, καὶ " οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ ἴστε ὅ τι ποιεῖτε. " Εἰ γάρ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν " τῇδε τῇ ἡμέρᾳ ἐμέ τε [2]κατακεκόψεσθαι, καὶ ὑμᾶς " οὐ πολὺ ἐμοῦ ὕστερον· [3]κακῶς γὰρ τῶν ἡμετέρων ἐχόν- " των, πάντες οὗτοι, οὓς ὁρᾶτε, βάρβαροι πολεμιώτεροι " ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ ὄντων." Ἀκούσας ταῦτα ὁ Κλέαρχος, ἐν ἑαυτῷ ἐγένετο· καὶ παυσάμενοι ἀμφότεροι, [4]κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

Ἐντεῦθεν προϊόντων, ἐφαίνετο ἴχνη ἵππων καὶ κόπρος· εἰκάζετο δὲ εἶναι ὁ στίβος ὡς δισχιλίων ἵππων. Οὗτοι προϊόντες ἔκαιον καὶ χιλὸν, καὶ εἴ τι ἄλλο χρήσιμον ἦν. Ὀρόντης δὲ, Πέρσης ἀνὴρ, γένει τε προσήκων βασιλεῖ, καὶ [5]τὰ πολεμικὰ λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν, ἐπιβουλεύει Κύρῳ, καὶ πρόσθεν πολεμήσας. Καταλλαγεὶς δὲ οὗτος Κύρῳ, εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακαίνοι ἂν ἐνεδρεύσας, ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι, καὶ [6]κωλύσειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν, ὥστε μή ποτε δύνασθαι αὐτοὺς, ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ διαγγεῖλαι. Τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέλιμα εἶναι· καὶ ἐκέλευεν αὐτὸν λαμβάνειν μέρος παρ' ἑκάστου τῶν ἡγεμόνων.

Ὁ δὲ Ὀρόντης, νομίσας ἑτοίμους αὐτῷ εἶναι τοὺς ἱππέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων ἱππέας ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν, ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. Ἐνῆν δ' ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. Ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρὶ, ὡς ᾤετο· ὁ δὲ λαβὼν, Κύρῳ δείκνυσιν. Ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος, συλλαμβάνει Ὀρόντην, καὶ συγκαλεῖ

εἰς τὴν αὑτοῦ σκηνὴν Περσῶν τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά· καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευεν ὁπλίτας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὑτοῦ σκηνήν. Οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισχιλίους ὁπλίτας. Κλέαρχος δὲ καὶ εἴσω παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. Ἐπεὶ δ' ἐξῆλθεν, ἐξήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντου, ὡς ἐγένετο· οὐ γὰρ ἀπόρρητον ἦν. Ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε·

"Παρεκάλεσα ὑμᾶς, ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν "βουλευόμενος ὅ τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς "ἀνθρώπων, τοῦτο πράξω περὶ Ὀρόντου [1]τουτουΐ. Τοῦτον "γὰρ πρῶτον μὲν ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον ἐμοὶ "εἶναι· ἐπεὶ δὲ ταχθεὶς, ὡς ἔφη αὐτὸς, ὑπὸ τοῦ ἐμοῦ "ἀδελφοῦ, οὗτος ἐπολέμησεν ἐμοὶ, ἔχων τὴν ἐν Σάρ-"δεσιν ἀκρόπολιν, καὶ ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα, "ὥστε δόξαι τούτῳ τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι, "καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα." Μετὰ ταῦτα, ἔφη,—Ὦ Ὀρόντα, ἔστιν, ὅ τι σε ἠδίκησα; Ὁ δὲ ἀπεκρίνατο, ὅτι οὔ. Πάλιν ὁ Κῦρος ἠρώτα· Οὐκ οὖν ὕστερον, ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδικούμενος, [2]ἀποστὰς εἰς Μυσοὺς, κακῶς ἐποίεις τὴν ἐμὴν χώραν ὅ τι ἐδύνω; Ἔφη ὁ Ὀρόντης. Οὐκ οὖν, ἔφη ὁ Κῦρος, ὁπότ' αὖ ἔγνως τὴν σεαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμὸν, [3]μεταμεμελῆσθαί σοι ἔφησθα, καὶ πείσας ἐμὲ, πιστὰ πάλιν ἔδωκάς μοι, καὶ ἔλαβες παρ' ἐμοῦ;—Καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντης.—Τί οὖν, ἔφη ὁ Κῦρος, ἀδικηθεὶς ὑπ' ἐμοῦ, νῦν τὸ τρίτον ἐπιβουλεύων μοι φανερὸς γέγονας;—Εἰπόντος δὲ τοῦ Ὀρόντου ὅτι οὐδὲν ἀδικηθεὶς, ἠρώτησεν ὁ Κῦρος αὐτὸν,—Ὁμολογεῖς οὖν περὶ ἐμὲ ἄδικος εἶναι;—[4]Ἦ γὰρ ἀνάγκη, ἔφη ὁ Ὀρόν-

της·—Ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος,—Ἔτι οὖν ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέμιος, ἐμοὶ δὲ καὶ φίλος καὶ πιστός;—Ὁ δὲ ἀπεκρίνατο, ὅτι, οὐδ' εἰ γενοίμην, ὦ Κῦρε, σοί γ' ἂν ἔτι ποτὲ δόξαιμι.

Πρὸς ταῦτα ὁ Κῦρος εἶπε τοῖς παροῦσιν·—Ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τί σοι δοκεῖ.—Κλέαρχος δὲ εἶπε τάδε·—Συμβουλεύω ἐγὼ, τὸν ἄνδρα τοῦτον [1]ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα· ὡς μηκέτι δέῃ τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ ἡμῖν, [2]τὸ κατὰ τοῦτον εἶναι, τοὺς ἐθελοντὰς* φίλους τούτους εὖ ποιεῖν. Ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ [3]τοὺς ἄλλους προσθέσθαι. Μετὰ ταῦτα, κελεύοντος Κύρου, ἐλάβοντο τῆς ζώνης τὸν Ὀρόντην, [4]ἐπὶ θανάτῳ, ἅπαντες ἀναστάντες, καὶ οἱ συγγενεῖς· εἶτα ἐξῆγον αὐτὸν, οἷς προσετάχθη. Ἐπεὶ δὲ εἶδον αὐτὸν, οἵπερ πρόσθεν προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες ὅτι ἐπὶ θανάτῳ ἄγοιτο. Ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτα σκηνὴν εἰσήχθη, τοῦ πιστοτάτου τῶν Κύρου [5]σκηπτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόντην, οὔτε [6]τεθνεῶτα οὐδεὶς πώποτε εἶδεν, οὐδ' ὅπως ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν· εἴκαζον δ' ἄλλοι ἄλλως· τάφος δ' οὐδεὶς πώποτε αὐτοῦ [7]ἐφάνη.

Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς, παρασάγγας δώδεκα. Ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ, περὶ μέσας νύκτας· (ἐδόκει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρατεύματι μαχούμενον·) καὶ ἐκέλευε Κλέαρχον μὲν [8]τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν, τοῦ εὐωνύμου· αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταττε. Μετὰ δὲ τὴν ἐξέτασιν, ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ αὐτόμολοι παρὰ μεγάλου βασιλέως ἥκοντες ἀπήγγελλον Κύρῳ περὶ τῆς βασιλέως στρατιᾶς.

Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων, [1] συνεβουλεύετό τε, πῶς ἂν τὴν μάχην ποιοῖτο· καὶ αὐτὸς παρῄνει θαῤῥύνων τοιάδε· "Ὦ ἄνδρες Ἕλ-" "ληνες, οὐκ ἀνθρώπων [2] ἀπορῶν βαρβάρων συμμάχους "ὑμᾶς ἄγω, ἀλλὰ νομίζων ἀμείνονας καὶ κρείττους "πολλῶν βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον. "[3] Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, ἧς "κέκτησθε, καὶ ὑπὲρ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω. Εὖ "γὰρ ἴστε, ὅτι τὴν ἐλευθερίαν ἑλοίμην ἂν, ἀντὶ ὧν ἔχω "πάντων καὶ ἄλλων πολλαπλασίων. Ὅπως δὲ εἰδῆτε "εἰς οἷον ἔρχεσθε ἀγῶνα, ἐγὼ ὑμᾶς διδάξω. Τὸ μὲν γὰρ "πλῆθος πολὺ, καὶ πολλῇ κραυγῇ ἐπίασιν· ἂν δὲ ταῦτα "ἀνάσχησθε, [4] τἄλλα καὶ αἰσχύνεσθαί μοι δοκῶ οἵους "ἡμῶν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώπους. "Ὑμῶν δὲ ἀνδρῶν ὄντων, καὶ εὐτόλμων γενομένων, ἐγὼ "ὑμῶν τὸν μὲν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι "ζηλωτὸν ποιήσω ἀπελθεῖν· πολλοὺς δ' οἶμαι ποιήσειν τὰ "παρ' ἐμοὶ ἑλέσθαι ἀντὶ τῶν οἴκοι."

Ἐνταῦθα Γαυλίτης παρὼν, φυγὰς Σάμιος, πιστὸς δὲ Κύρῳ, εἶπε· "Καὶ μὴν, ὦ Κῦρε, λέγουσί τινες ὅτι "πολλὰ ὑπισχνῇ νῦν, διὰ τὸ ἐν τοιούτῳ εἶναι τοῦ κινδύ-" "νου προσιόντος· ἂν δ' εὖ γένηταί τι, οὐ μεμνῆσθαί "σε· ἔνιοι δὲ, οὐδ' εἰ [5] μεμνῷό τε καὶ βούλοιο, δύνασθαι "ἂν ἀποδοῦναι ὅσα ὑπισχνῇ." Ἀκούσας ταῦτα ἔλεξεν ὁ Κῦρος· "Ἀλλ' ἔστι μὲν ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ ἡ "πατρῴα, πρὸς μὲν τὴν μεσημβρίαν, μέχρις οὗ διὰ "καῦμα οὐ δύνανται οἰκεῖν οἱ ἄνθρωποι· πρὸς δὲ ἄρ-" "κτον, μέχρις ὅτου διὰ χειμῶνα· τὰ δ' ἐν μέσῳ τούτων "ἅπαντα [6] σατραπεύουσιν οἱ τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. Ἢν "δ' ἡμεῖς νικήσωμεν, ἡμᾶς δεῖ τοὺς ἡμετέρους φίλους "τούτων ἐγκρατεῖς ποιῆσαι. Ὥστε οὐ τοῦτο δέδοικα, μὴ "οὐκ ἔχω, ὅ τι δῶ ἑκάστῳ τῶν φίλων, ἂν εὖ γένηται,

" ἀλλὰ μὴ οὐκ ἔχω ἱκανοὺς, οἷς δῶ. Ὑμῶν δὲ τῶν " Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν δώσω." Οἱ δὲ, ταῦτα ἀκούσαντες, αὐτοί τε ἦσαν πολὺ προθυμότεροι, καὶ τοῖς ἄλλοις ἐξήγγελλον. Εἰσήεσαν δὲ παρ' αὐτὸν [οἵ τε στρατηγοὶ] καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς ἀξιοῦντες εἰδέναι, τί σφίσιν ἔσται, ἐὰν κρατήσωσιν. Ὁ δὲ ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπε. Παρεκελεύοντο δ' αὐτῷ πάντες, ὅσοιπερ διελέγοντο, μὴ μάχεσθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. Ἐν δὲ τῷ καιρῷ τούτῳ Κλέαρχος ὧδέ πως ἤρετο Κῦρον· [1] Οἴει γάρ σοι, ὦ Κῦρε, μαχεῖσθαι τὸν ἀδελφόν; Νὴ Δί', ἔφη ὁ Κῦρος, εἴπερ γε Δαρείου καὶ Παρυσάτιδός ἐστι παῖς, καὶ ἐμὸς ἀδελφὸς, οὐκ ἀμαχεὶ ταῦτα ἐγὼ λήψομαι.

Ἐνταῦθα δὴ, ἐν τῇ ἐξοπλισίᾳ, ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλήνων [2] ἀσπὶς μυρία καὶ τετρακοσία· πελτασταὶ δὲ δισχίλιοι καὶ τετρακόσιοι· τῶν δὲ μετὰ Κύρου βαρβάρων δέκα μυριάδες, καὶ ἅρματα δρεπανηφόρα ἀμφὶ τὰ εἴκοσι. Τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴκοσι μυριάδες, καὶ ἅρματα δρεπανηφόρα διακόσια. Ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρχεν· οὗτοι δὲ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν. Τοῦ δὲ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες καὶ στρατηγοὶ καὶ ἡγεμόνες τέτταρες, τριάκοντα μυριάδων ἕκαστος, Ἀβροκόμας, Τισσαφέρνης, Γωβρύας, Ἀρβάκης. Τούτων δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐννενήκοντα μυριάδες, καὶ ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντήκοντα· Ἀβροκόμας γὰρ [3] ὑστέρησε τῆς μάχης ἡμέρας πέντε, ἐκ Φοινίκης ἐλαύνων. Ταῦτα δὲ ἤγγελλον πρὸς Κῦρον οἱ αὐτομολήσαντες ἐκ τῶν πολεμίων παρὰ μεγάλου βασιλέως πρὸ τῆς μάχης· καὶ μετὰ τὴν μάχην οἳ ὕστερον ἐλήφθησαν τῶν πολεμίων, ταῦτα ἤγγελλον. Ἐντεῦθεν δὲ Κῦρος ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας τρεῖς, συντεταγμένῳ

τῷ στρατεύματι παντὶ, καὶ τῷ Ἑλληνικῷ καὶ τῷ βαρβαρικῷ· ᾤετο γὰρ ταύτῃ τῇ ἡμέρᾳ μαχεῖσθαι βασιλέα· κατὰ γὰρ μέσον τὸν σταθμὸν τοῦτον τάφρος ἦν ὀρυκτὴ, βαθεῖα, τὸ μὲν εὖρος ὀργυιαὶ πέντε, τὸ δὲ βάθος ὀργυιαὶ τρεῖς. Παρετέτατο δὲ ἡ τάφρος ἄνω, διὰ τοῦ πεδίου, ἐπὶ δώδεκα παρασάγγας, μέχρι τοῦ Μηδίας τείχους. Ἔνθα δὴ εἰσὶν αἱ διώρυχες ἀπὸ τοῦ Τίγρητος ποταμοῦ ῥέουσαι· εἰσὶ δὲ τέτταρες, τὸ μὲν εὖρον πλεθριαῖαι, βαθεῖαι δὲ ἰσχυρῶς, καὶ πλοῖα πλεῖ ἐν αὐταῖς σιταγωγά· εἰσβάλλουσι δὲ εἰς τὸν Εὐφράτην, διαλείπουσι δὲ ἑκάστη παρασάγγην, γέφυραι δὲ ἔπεισιν.

Ἦν δὲ παρ' αὐτὸν τὸν Εὐφράτην πάροδος στενὴ, μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου, ὡς εἴκοσι ποδῶν τὸ εὖρος. Ταύτην δὴ τὴν τάφρον βασιλεὺς μέγας ποιεῖ ἀντὶ ἐρύματος, ἐπειδὴ [1]πυνθάνεται Κῦρον προσελαύνοντα. Ταύτην δὲ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε, καὶ ἐγένοντο εἴσω τῆς τάφρου. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οὐκ ἐμαχέσατο βασιλεὺς, ἀλλ' ὑποχωρούντων φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά. Ἐνταῦθα Κῦρος Σιλανὸν καλέσας, τὸν Ἀμβρακιώτην μάντιν, ἔδωκεν αὐτῷ [2]δαρεικοὺς τρισχιλίους, ὅτι τῇ ἑνδεκάτῃ ἀπ' ἐκείνης τῆς ἡμέρας πρότερον θυόμενος, εἶπεν αὐτῷ, ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν· Κῦρος δ' εἶπεν,—Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ μὴ ἐν ταύταις ταῖς ἡμέραις μαχεῖται· ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα.—Τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλθον αἱ δέκα ἡμέραι. Ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε βασιλεὺς τὸ Κύρου στράτευμα διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς ἄλλοις ἀπεγνωκέναι τοῦ μάχεσθαι· ὥστε τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο ἠμελημένως μᾶλλον. Τῇ δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος καθήμενος τὴν πορείαν ἐποιεῖτο, καὶ ὀλίγους ἐν τάξει ἔχων πρὸ αὐτοῦ· τὸ δὲ

πολὺ αὐτῷ ἀνατεταραγμένον ἐπορεύετο, καὶ τῶν ὅπλων τοῖς στρατιώταις πολλὰ ἐπὶ ἁμαξῶν καὶ ὑποζυγίων ἤγετο.

Καὶ ἤδη τε ἦν [1] ἀμφὶ ἀγορὰν πλήθουσαν, καὶ πλησίον ἦν ὁ σταθμὸς, [2] ἔνθα ἔμελλε καταλύσειν, ἡνίκα Παταγύας, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν, προφαίνεται, [3] ἐλαύνων κατὰ κράτος ἱδροῦντι τῷ ἵππῳ· καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, [4] ἐβόα καὶ βαρβαρικῶς καὶ Ἑλληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται, ὡς εἰς μάχην παρεσκευασμένος. Ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες, καὶ πάντες δὲ, ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι. Καὶ Κῦρός τε, καταπηδήσας ἐκ τοῦ ἅρματος, τὸν θώρακα ἐνέδυ, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ εἰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι, καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων, πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος· οἱ δ' ἄλλοι μετὰ τοῦτον. Μένων δὲ [καὶ τὸ στράτευμα] τὸ εὐώνυμον κέρας εἶχε τοῦ Ἑλληνικοῦ. Τοῦ δὲ βαρβαρικοῦ, ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον ἕστασαν ἐν τῷ δεξιῷ, καὶ τὸ Ἑλληνικὸν πελταστικόν· ἐν δὲ τῷ εὐωνύμῳ, Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος, καὶ τὸ ἄλλο βαρβαρικόν. Κῦρος δὲ, καὶ ἱππεῖς μετ' αὐτοῦ ἑξακόσιοι, κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μὲν αὐτοὶ, καὶ παραμηριδίοις, καὶ κράνεσι πάντες, πλὴν Κύρου· Κῦρος δὲ, ψιλὴν ἔχων τὴν κεφαλὴν, εἰς τὴν μάχην καθίστατο. Λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν. Οἱ δ' ἵπποι ἅπαντες, οἱ μετὰ Κύρου, εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

Καὶ ἤδη τε ἦν [1] μέσον ἡμέρας, καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγένετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκὴ, χρόνῳ δὲ οὐ συχνῷ ὕστερον, ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπιπολύ. Ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε, καὶ αἱ λόγχαι, καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. Καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων. (Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν·) ἐχόμενοι δὲ τούτων, γεῤῥοφόροι· ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν· (Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο εἶναι·) ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται. Πάντες δὲ οὗτοι κατὰ ἔθνη, ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον ἔθνος ἐπορεύετο. Πρὸ δ' αὐτῶν, ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων, τὰ δρεπανηφόρα λεγόμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντύχοιεν. [2] Ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ διακοψόντων. Ὃ μέντοι Κῦρος εἶπεν, ὅτε καλέσας παρεκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο· οὐ γὰρ κραυγῇ, [3] ἀλλὰ σιγῇ ὡς ἀνυστὸν, καὶ ἡσυχῇ, ἐν ἴσῳ καὶ βραδέως προσῄεσαν. Καὶ ἐν τούτῳ, Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ, καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι, τῷ Κλεάρχῳ ἐβόα, ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· κἂν τοῦτο, ἔφη, νικῶμεν, [4] πάνθ' ἡμῖν πεποίηται. Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος, καὶ ἀκούων [5] Κύρου ἔξω ὄντα τοῦ Ἑλληνικοῦ εὐωνύμου βασιλέα, (τοσούτῳ γὰρ πλήθει περιῆν βασιλεὺς, ὥστε μέσον τὸ ἑαυτοῦ ἔχων, τοῦ Κύρου εὐωνύμου ἔξω ἦν,) ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν· τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι.

Καὶ, ἐν τούτῳ τῷ καιρῷ, τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει· τὸ δ' Ἑλληνικὸν, [1]ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι, κατεθεᾶτο ἑκατέρους ἄποθεν, τούς τε πολεμίους ἀποβλέπων, τούς τε φιλίους. [2]Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, [3]ὑπελάσας ὡς συναντῆσαι, ἤρετο εἴ τι παραγγέλλοι· [4]ὁ δ' ἐπιστήσας εἶπε, καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι [5]τὰ ἱερὰ καὶ τὰ σφάγια καλὰ εἴη. Ταῦτα δὲ λέγων, θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο τίς ὁ θόρυβος. Ὁ δὲ Ξενοφῶν εἶπεν, ὅτι [6]τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ [7]ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο ὅ τι καὶ εἴη τὸ σύνθημα. Ὁ δὲ ἀπεκρίνατο, ὅτι ΖΕΥΣ ΣΩΤΗΡ καὶ ΝΙΚΗ. Ὁ δὲ Κῦρος ἀκούσας,—Ἀλλὰ δέχομαί τε,* ἔφη, καὶ τοῦτο ἔστω.—Ταῦτα δὲ εἰπὼν, εἰς τὴν ἑαυτοῦ χώραν ἀπήλαυνε· καὶ οὐκ ἔτι τρία ἢ τέτταρα στάδια ἀπειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες, καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων [8]ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ἐπιλειπόμενον [9]ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷόν περ τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. Λέγουσι δέ τινες, ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν, φόβον ποιοῦντες τοῖς ἵπποις. Πρὶν δὲ τόξευμα [10]ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι τοῖς ἵπποις καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν [11]κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις, μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. Τὰ δὲ ἅρματα ἐφέρετο, τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων, κενὰ ἡνιόχων. Οἱ δὲ, ἐπεὶ προΐδοιεν [12]διΐσταντο· ἔστι δ' ὅς τις καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ, ἐκπλαγείς· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν·

οὐδὲ ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδὲν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

Κῦρος δὲ, ὁρῶν τοὺς Ἕλληνας νικῶντας [1] τὸ καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτὸν, οὐδ' ὣς ἐξήχθη διώκειν· ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν, ἐπεμελεῖτο ὅ τι ποιήσει βασιλεύς· [2] Καὶ γὰρ ᾔδει αὐτὸν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος. Καὶ πάντες δὲ οἱ τῶν βαρβάρων ἄρχοντες, μέσον ἔχοντες τὸ αὑτῶν, [3] ἡγοῦντο, νομίζοντες οὕτως καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν ᾖ, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. Καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς ἑαυτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. Ἐπεὶ δὲ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἐναντίου, οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν. Ἔνθα δὴ Κῦρος δείσας, μὴ ὄπισθεν γενόμενος κατακόψῃ τὸ Ἑλληνικὸν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν [4] σὺν τοῖς ἑξακοσίοις, νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους, καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους· καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν.

Ὡς δὲ ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι, εἰς τὸ διώκειν ὁρμήσαντες· πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. Σὺν τούτοις δὲ ὢν, καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στίφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν, —Ὁρῶ τὸν ἄνδρα,—ἵετο ἐπ' αὐτόν· καὶ παίει κατὰ τὸ στέρνον, καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρὸς, ὅς [5] καὶ ἰᾶσθαι αὐτὸν τὸ τραῦμά φησι. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ

Κῦρος, καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθανον, Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν·—Κῦρος δὲ αὐτός τε ἀπέθανε, καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ. Ἀρταπάτης δὲ, ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων, λέγεται, ἐπειδὴ εἶδε πεπτωκότα Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου, [1]περιπεσεῖν αὐτῷ. Καὶ οἱ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ· οἱ δὲ, ἑαυτὸν ἐπισφάξαι, σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν. Καὶ στρεπτὸν δὲ ἐφόρει, καὶ ψέλια, καὶ τὰ ἄλλα, ὥσπερ οἱ ἄριστοι τῶν Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ πιστότητα.

Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν, τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων, βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται [2]τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι. Πρῶτον μὲν γὰρ παῖς ἔτι ὢν, ὅτε ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ τοῖς ἄλλοις παισὶ, πάντων πάντα κράτιστος ἐνομίζετο. Πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις* παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτε ἀκοῦσαι οὔτ' ἰδεῖν ἐστι. Θεῶνται δ' οἱ παῖδες καὶ τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους· ὥστ' εὐθὺς παῖδες ὄντες μανθάνουσιν [3]ἄρχειν τε καὶ ἄρχεσθαι. Ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλίκων ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι· ἔπειτα δὲ φιλιππότατος, [4]καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι. [5]Ἔκρινον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατον εἶναι, καὶ μελετηρότατον. Ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθηρότατος ἦν, καὶ πρὸς τὰ θηρία μέντοι [6]φιλοκινδυνότατος. Καὶ ἄρκτον ποτὲ [7]ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ

συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου· καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς φανερὰς εἶχε, τέλος δὲ κατέκτανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαρισότατον ἐποίησεν.

Ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς μεγάλης, καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη, οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὐτὸν, [1]ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο, καὶ εἴ τῳ συνθοῖτο, καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι. Καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ' οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου, ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν. Τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους, πλὴν Μιλησίων· οὗτοι δὲ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. Καὶ γὰρ ἔργῳ ἐπεδείκνυε, καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπεὶ ἅπαξ αὐτοῖς φίλος ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ καὶ κάκιον [2]πράξειαν. [3]Φανερὸς δ' ἦν, καὶ εἴ τις ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτὸν, νικᾷν πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον ὑπερζῆν, [4]ἔστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας [5]ἀλεξόμενος. Καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ ἑνί γε ἀνδρὶ [6]τῶν ἐφ' ἡμῶν, ἐπεθύμησαν καὶ χρήματα, καὶ πόλεις, καὶ τὰ ἑαυτῶν σώματα [7]προέσθαι.

Οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους καὶ ἀδίκους εἴα καταγελᾷν, ἀλλ' ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. Πολλάκις δ' [8]ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς, καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερουμένους ἀνθρώπους· ὥστε ἐν τῇ τοῦ Κύρου ἀρχῇ ἐγένετο, καὶ Ἕλληνι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι ἀδεῶς πορεύεσθαι, ὅποι τις ἤθελεν, [9]ἔχοντι ὅ τι προχωροίη. Τοὺς μέν—

τοιγε ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾷν. Καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πεισίδας καὶ Μυσούς· στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας, ἔπειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμα· [1]ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς, εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς, δούλους τούτων ἀξιοῦσθαι εἶναι. Τοιγαροῦν πολλὴ ἦν ἀφθονία τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι.

[2]Εἴς γε μὴν δικαιοσύνην, εἴ τις αὐτῷ φανερὸς γένοιτο ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρους ποιεῖν τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων. Καὶ γὰρ οὖν ἄλλα τε πολλὰ δικαίως αὐτῷ διεχειρίζετο, καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο. Καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοὶ οὐ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἀλλ' ἐπεὶ ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ καλῶς πειθαρχεῖν, ἢ τὸ κατὰ μῆνα κέρδος· Ἀλλὰ μὴν εἴ τίς γέ τι αὐτῷ προστάξαντι [3]καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. Τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι. Εἰ δέ τινα [4]ὁρώη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου, καὶ κατασκευάζοντά τε ἧς ἄρχοι χώρας, [5]καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλὰ καὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν, καὶ θαῤῥαλέως ἐκτῶντο, καὶ ἃ [6]πέπατο αὖ τις, ἥκιστα Κῦρον ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ὑποκρυπτομένων χρήμασι. [7]Φίλους γε μὴν ὅσους ποιήσαιτο, καὶ εὔνους γνοίη ὄντας, καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι ὅ τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν. [8]Καὶ γὰρ αὐτὸ τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς

ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου, ὅτου ἕκαστον αἰσθάνοιτο ἐπιθυμοῦντα.

Δῶρα δὲ πλεῖστα μὲν, οἶμαι, εἷς γε ἀνὴρ ὢν, ἐλάμβανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου, [1] πρὸς τὸν τρόπον ἑκάστου σκοπῶν, καὶ ὅτου μάλιστα ὁρῴη ἕκαστον δεόμενον. Καὶ ὅσα τῷ σώματι αὐτοῦ κόσμον πέμποι τις, ἢ ὡς εἰς πόλεμον, ἢ ὡς εἰς καλλωπισμὸν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμῆσαι φίλους δὲ καλῶς κεκοσμημένους, μέγιστον κόσμον ἀνδρὶ νομίζοι. [2] Καὶ τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα, οὐδὲν θαυμαστὸν, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων, καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα μᾶλλον ἔμοιγε δοκεῖ ἀγαστὰ εἶναι. Κῦρος γὰρ ἔπεμπε βικοὺς οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων ὅτι οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· [3] τοῦτο οὖν σοι ἔπεμψε, καὶ δεῖταί σου τοῦτον ἐκπιεῖν τήμερον σὺν οἷς μάλιστα φιλεῖς. Πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε, καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα.—Τούτοις ἥσθη Κῦρος· βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι.—Ὅπου δὲ χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δὲ δύναιτο παρασκευάσασθαι, διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας, καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλὸν, [4] ὡς μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. Εἰ δὲ δή ποτε πορεύοιτο, καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο, ὡς δηλοίη οὓς τιμᾷ· ὥστε ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι, οὔτε Ἑλλήνων οὔτε βαρβάρων. Τεκμήριον δὲ τούτου καὶ τόδε·

παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπήει πρὸς βασιλέα· πλὴν Ὀρόντης ἐπεχείρησε· καὶ οὗτος δὲ, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν εὗρε Κύρῳ φιλαίτερον, ἢ ἑαυτῷ· παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ἀπῆλθον, ἐπεὶ πολέμιοι ἀλλήλοις ἐγένοντο· καὶ οὗτοι μέντοι, οἱ μάλιστα ὑπ' αὐτοῦ ἀγαπώμενοι, νομίζοντες, παρὰ Κύρῳ ὄντες ἀγαθοὶ, ἀξιωτέρας ἂν τιμῆς τυγχάνειν, ἢ παρὰ βασιλεῖ. Μέγα δὲ τεκμήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς, καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. Ἀποθνήσκοντος γὰρ αὐτοῦ, πάντες οἱ παρ' αὐτὸν φίλοι καὶ συντράπεζοι μαχόμενοι ἀπέθανον ὑπὲρ Κύρου, πλὴν Ἀριαίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων· ὡς δ' ᾔσθετο Κῦρον πεπτωκότα, ἔφυγεν ἔχων καὶ τὸ στράτευμα πᾶν, οὗ ἡγεῖτο.

Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ χεὶρ ἡ δεξιά. Βασιλεὺς δὲ, καὶ οἱ σὺν αὐτῷ, διώκων εἰσπίπτει εἰς τὸ Κυρεῖον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκέτι [1] ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὑτῶν στρατοπέδου εἰς τὸν σταθμὸν, ἔνθεν ὥρμηντο· τέτταρες δὲ ἐλέγοντο παρασάγγαι τῆς ὁδοῦ εἶναι· βασιλεὺς δὲ, καὶ οἱ σὺν αὐτῷ, τά τε ἄλλα πολλὰ διαρπάζουσι, καὶ τὴν Φωκαΐδα τὴν Κύρου παλλακίδα, τὴν σοφὴν καὶ καλὴν λεγομένην εἶναι, λαμβάνει. Ἡ δὲ Μιλησία ἡ νεωτέρα, ληφθεῖσα ὑπὸ τῶν ἀμφὶ βασιλέα, ἐκφεύγει γυμνὴ πρὸς τῶν Ἑλλήνων, [2] οἳ ἔτυχον ἐν τοῖς σκευοφόροις ὅπλα ἔχοντες· καὶ ἀντιταχθέντες, πολλοὺς μὲν τῶν ἁρπαζόντων ἀπέκτειναν, οἱ δὲ καὶ αὐτῶν ἀπέθανον· οὐ μὴν ἔφυγόν γε, ἀλλὰ καὶ ταύτην ἔσωσαν, καὶ τἆλλα ὅσα ἐντὸς αὐτῶν, καὶ χρήματα καὶ ἄνθρωποι, ἐγένοντο, πάντα ἔσωσαν. Ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε καὶ οἱ Ἕλληνες

ὡς τριάκοντα στάδια, οἱ μὲν διώκοντες τοὺς καθ' ἑαυτοὺς, ὡς πάντας νικῶντες· οἱ δὲ ἁρπάζοντες, ὡς ἤδη πάντας νικῶντες. Ὡς δὲ ᾔσθοντο οἱ μὲν Ἕλληνες, ὅτι βασιλεὺς σὺν στρατεύματι ἐν τοῖς σκευοφόροις εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ Ἕλληνες νικῷεν τὸ καθ' ἑαυτοὺς, καὶ εἰς τὸ πρόσθεν οἴχοιντο διώκοντες, ἐνταῦθα δὴ βασιλεὺς μὲν ἀθροίζει τοὺς ἑαυτοῦ, καὶ συντάττεται· ὁ δὲ Κλέαρχος ἐβουλεύετο, Πρόξενον καλέσας,—πλησιαίτατος γὰρ ἦν,—εἰ πέμποιέν τινας, ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες.

Ἐν τούτῳ βασιλεὺς πάλιν δῆλος ἦν προσιὼν, ὡς ἐδόκει, ὄπισθεν. [1]Καὶ οἱ μὲν Ἕλληνες συστραφέντες παρασκευάζονται, ὡς ταύτῃ προσιόντες καὶ δεξόμενοι· ὁ δὲ βασιλεὺς ταύτῃ μὲν οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος, ταύτῃ καὶ ἀπήγαγεν, ἀναλαβὼν καὶ τοὺς ἐν τῇ μάχῃ πρὸς τοὺς Ἕλληνας αὐτομολήσαντας, καὶ Τισσαφέρνην, καὶ τοὺς σὺν αὐτῷ. Ὁ γὰρ Τισσαφέρνης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυγεν, ἀλλὰ διήλασε παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελταστάς· διελαύνων δὲ κατέκανε μὲν οὐδένα, διαστάντες δὲ οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. Ἐπισθένης δὲ Ἀμφιπολίτης ἦρχε τῶν πελταστῶν, καὶ ἐλέγετο φρόνιμος γενέσθαι. Ὁ δ' οὖν Τισσαφέρνης, ὡς μεῖον ἔχων ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τῶν Ἑλλήνων, ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο. Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες μὴ [2]προσάγοιεν πρὸς τὸ κέρας, καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς διακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ κέρας, [3]καὶ ποιήσασθαι ὄπισθεν τὸν ποταμόν. [4]Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς [5]παραμειψάμενος εἰς τὸ αὐτὸ σχῆμα, κατέστησεν ἐναντίαν τὴν

φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος συνῄει. Ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους, αὖθις, παιανίσαντες, ἐπῄεσαν πολὺ ἔτι προθυμότερον, ἢ τοπρόσθεν. Οἱ δ᾽ αὖ βάρβαροι οὐκ ἐδέχοντο, [1] ἀλλ᾽ ἐκ πλείονος, ἢ τοπρόσθεν, ἔφευγον· οἱ δ᾽ ἐπεδίωκον μέχρι κώμης τινός· ἐνταῦθα δὲ ἔστησαν οἱ Ἕλληνες· ὑπὲρ γὰρ τῆς κώμης γήλοφος ἦν, ἐφ᾽ οὗ ἀνεστράφησαν οἱ ἀμφὶ Βασιλέα, πεζοὶ μὲν οὐκέτι, τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη, ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν. Καὶ τὸ βασίλειον σημεῖον ὁρᾷν ἔφασαν, ἀετόν τινα χρυσοῦν [2] ἐπὶ πέλτης ἀνατεταμένον.

Ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς· οὐ μέντοι ἔτι ἀθρόοι, ἀλλ᾽ ἄλλοι ἄλλοθεν· ἐψιλοῦτο δ᾽ ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάντες ἀπεχώρησαν. Ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ᾽ ὑπὸ αὐτὸν στήσας τὸ στράτευμα, πέμπει Λύκιον τὸν Συρακούσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον, καὶ κελεύει, κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου, τί ἐστιν ἀπαγγεῖλαι. Καὶ ὁ Λύκιος ἤλασε, καὶ ἰδὼν ἀπαγγέλλει ὅτι φεύγουσιν ἀνὰ κράτος. Σχεδὸν δ᾽ ὅτε ταῦτα ἦν, καὶ ἥλιος ἐδύετο. [3] Ἐνταῦθα δ᾽ ἔστησαν οἱ Ἕλληνες, καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ ἅμα μὲν ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο, οὐδ᾽ ἄλλος ἀπ᾽ αὐτοῦ οὐδεὶς παρείη· [4] οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα, ἀλλ᾽ εἴκαζον ἢ διώκοντα οἴχεσθαι, ἢ καταληψόμενόν τι προεληλακέναι· καὶ αὐτοὶ ἐβουλεύοντο, εἰ αὐτοῦ μείναντες τὰ σκευοφόρα ἐνταῦθα ἄγοιντο, ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. Ἔδοξεν οὖν αὐτοῖς ἀπιέναι· καὶ ἀφικνοῦνται, [5] ἀμφὶ δόρπιστον, ἐπὶ τὰς σκηνάς. Ταύτης μὲν οὖν τῆς ἡμέρας τοῦτο τὸ τέλος ἐγένετο. Καταλαμβάνουσι δὲ τῶν τε ἄλλων χρημάτων τὰ πλεῖστα διηρπασμένα, καὶ εἴ τι σιτίον ἢ ποτὸν ἦν· καὶ τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο Κῦρος, ἵνα εἴ ποτε σφοδρὰ

λάβοι τὸ στρατόπεδον ἔνδεια, διαδιδοίη τοῖς Ἕλλησιν· (ἦσαν δ' αὗται, ὡς ἐλέγοντο, τετρακόσιαι ἅμαξαι·) καὶ ταύτας τότε οἱ σὺν βασιλεῖ διήρπασαν· ὥστε [1]ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων· ἦσαν δὲ καὶ ἀνάριστοι· πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον, βασιλεὺς ἐφάνη. Ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

[2]Ἐκ τοῦ ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ Β'.

II. 6.

Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες, ἀνήχθησαν [3]ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς [4]ἐτελεύτησαν· εἷς μὲν αὐτῶν Κλέαρχος, ὁμολογουμένως ἐκ πάντων [5]τῶν ἐμπείρως αὐτοῦ ἐχόντων, δόξας γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως. Καὶ γὰρ δὴ ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις πρὸς τοὺς Ἀθηναίους, παρέμεινεν· ἐπεὶ δ' εἰρήνη ἐγένετο, πείσας τὴν αὐτοῦ πόλιν ὡς οἱ Θρᾶκες [6]ἀδικοῦσι τοὺς Ἕλληνας, καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν Ἐφόρων, ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ Χεῤῥονήσου καὶ Περίνθου Θρᾳξίν. Ἐπεὶ δὲ μεταγνόντες πως [7]οἱ Ἔφοροι, ἤδη ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ' [8]ᾤχετο πλέων εἰς Ἑλλήσποντον. Ἐκ τούτου καὶ ἐθανατώθη [9]ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν, ὡς ἀπειθῶν. Ἤδη δὲ, φυγὰς ὢν, ἔρχεται πρὸς Κῦρον, καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον, ἀλλαχῇ γέγραπται· δίδωσι δ' αὐτῷ Κῦρος [10]μυρίους δαρεικούς· ὁ δὲ λαβὼν, οὐκ ἐπὶ ῥαθυμίαν ἐτράπετο, ἀλλ' ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα, ἐπολέμει τοῖς Θρᾳξί· καὶ μάχῃ τε ἐνίκησε, καὶ ἀπὸ τούτου [11]ἔφερε, καὶ ἦγεν

αὐτούς· καὶ πολεμῶν διεγένετο, μέχρις οὗ Κῦρος ἐδεήθη τοῦ στρατεύματος· τότε δ' ἀπῆλθεν, ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων.

Ταῦτα οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, [1] ἐξὸν μὲν εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥᾳθυμεῖν, βούλεται πονεῖν ὥστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν. Ἐκεῖνος δὲ, ὥσπερ εἴς τινα ἡδονὴν, ἤθελε δαπανᾷν εἰς πόλεμον· οὕτω μὲν φιλοπόλεμος ἦν. Πολεμικὸς δὲ αὖ ταύτῃ εἶναι ἐδόκει, ὅτι φιλοκίνδυνός τε ἦν, καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους, καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν. Καὶ ἀρχικὸς δὲ ἐλέγετο εἶναι, ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου, οἷον καὶ ἐκεῖνος εἶχεν. Ἱκανὸς μὲν γὰρ, ὥς τις καὶ ἄλλος, φροντίζειν ἦν, ὅπως ἕξει ἡ στρατιὰ αὐτοῦ τὰ ἐπιτήδεια, καὶ παρασκευάζειν ταῦτα· ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν, [2] ὡς πιστέον εἴη Κλεάρχῳ. Τοῦτο δὲ ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι. Καὶ γὰρ ὁρᾷν στυγνὸς ἦν, καὶ τῇ φωνῇ τραχύς· ἐκόλαζέ τε αἰεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν [3] ἔσθ' ὅτε. Καὶ γνώμῃ δὲ ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι. Ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν, ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ [4] φυλακὰς φυλάξειν, ἢ φίλων ἀφέξεσθαι, ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. Ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα, καὶ οὐκ ἄλλον ᾑροῦντο οἱ στρατιῶται. Καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς προσώποις ἔφασαν φαίνεσθαι, καὶ τὸ χαλεπὸν, ἐρρωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι· ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. Ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο, καὶ ἐξείη πρὸς ἄλλους [5] ἀρχομένους ἀπιέναι,

πολλοὶ αὐτὸν ἀπέλειπον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλὰ ἀεὶ χαλεπὸς καὶ ὠμὸς ἦν· καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους οὐδέποτ' εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τεταγμένοι, ἢ ὑπὸ τοῦ δεῖσθαι, ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. Ἐπειδὴ δὲ καὶ ἤρξαντο νικᾶν σὺν αὐτῷ τοὺς πολεμίους, μεγάλα ἤδη ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας· [1] τότε γὰρ πρὸς τοὺς πολεμίους θαρραλέως ἔχειν παρῆν, καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φοβεῖσθαι, αὐτοὺς εὐτάκτους ἐποίει. Τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δ' ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. Ἦν δὲ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.

Πρόξενος δὲ ὁ Βοιώτιος, εὐθὺς μὲν μειράκιον ὢν, ἐπεθύμει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανός· καὶ διὰ ταύτην τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον τῷ Λεοντίνῳ. Ἐπεὶ δὲ συνεγένετο ἐκείνῳ, ἱκανὸς ἤδη νομίσας εἶναι καὶ ἄρχειν, καὶ, φίλος ὢν τοῖς πρώτοις, μὴ ἡττᾶσθαι εὐεργετῶν, ἦλθεν εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις· καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα, καὶ δύναμιν μεγάλην, καὶ χρήματα πολλά· τούτων δ' ἐπιθυμῶν, σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέλοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τούτων μή. Ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν ἱκανὸς ἦν· οὐ μέντοι οὔτ' αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ οὔτε φόβον ἱκανὸς ἐμποιῆσαι, ἀλλὰ καὶ ᾐσχύνετο μᾶλλον τοὺς στρατιώτας, ἢ οἱ ἀρχόμενοι ἐκεῖνον· [2] καὶ φοβούμενος μᾶλλον ἦν φανερὸς τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις, ἢ οἱ στρατιῶται τὸ ἀπιστεῖν ἐκείνῳ. Ὤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν εἶναι καὶ δοκεῖν, τὸν μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν. Τοιγαροῦν αὐτῷ οἱ μὲν καλοὶ κἀγαθοὶ τῶν συνόντων εὖνοι ἦσαν, οἱ δ'

ἄδικοι ἐπεβούλευον, ὡς εὐμεταχειρίστῳ ὄντι. Ὅτι δὲ ἀπέθνησκεν, ἦν ἐτῶν ὡς τριάκοντα.

Μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλουτεῖν ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι· ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω [1] κερδαίνοι· φίλος τ' ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. Ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη, συντομωτάτην ὁδὸν ᾤετο εἶναι διὰ τοῦ ἐπιορκεῖν τε, καὶ ψεύδεσθαι, καὶ ἐξαπατᾷν· τὸ δὲ ἁπλοῦν τε καὶ ἀληθὲς ἐνόμιζε τὸ αὐτὸ τῷ [2] ἠλιθίῳ εἶναι. Στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα· ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἦν ἐπιβουλεύων. Καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν αἰεὶ διελέγετο. Καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε·—χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν·—τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. Καὶ ὅσους μὲν ἂν [3] αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δ' ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. Ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ, καὶ ἀληθείᾳ, καὶ δικαιότητι, οὕτω καὶ Μένων ἠγάλλετο τῷ ἐξαπατᾷν δύνασθαι, [4] τῷ πλάσαι ψευδῆ, τῷ φίλους διαγελᾷν· τὸν δὲ μὴ πανοῦργον, ἀπαίδευτον ἐνόμιζεν εἶναι. [5] Καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν φιλίᾳ, διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο δεῖν κτήσασθαι. Τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι, ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. Τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου, ἐπιδεικνύμενος ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. Εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τὶς αὐτοῦ [6] ἀφίστατο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν. Ἀποθνησκόντων δὲ τῶν στρατηγῶν, ὅτι ἐστράτευσαν ἐπὶ βασιλέα σὺν Κύρῳ, τὰ αὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε· μετὰ δὲ τὸν τῶν ἄλλων

I.

[1] Ex LYSIA.

[Juxta Edit. Joan. Jac. Reiske. Lips. 1772. 8vo.]

LYSIAS——subtilis atque elegans, et quo nihil, si oratori satis sit docere, quæras perfectius. Nihil enim est inane, nihil arcessitum: puro tamen fonti quam magno flumini propior. Quinct. X. 1.

---

[2] ΛΥΣΙΟΥ

ΚΑΤΑ ἘΡΑΤΟΣΘΕΝΟΥΣ,

ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ, ὉΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

ΟΥΚ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταὶ, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. Τοιαῦτα [4] αὐτοῖς τὸ μέγεθος, καὶ τοσαῦτα τὸ πλῆθος, εἴργασται, [5] ὥστε μήτ᾽ ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν, ἅπαντα δύνασθαι· [6] ἀλλ᾽ ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. Τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ [7] ἐν τῷ προτοῦ χρόνῳ. Πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη [8] πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν

πόλιν ἔχθρα, [1] ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. Οὐ μέντοι, ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφοράς, τοὺς λόγους ποιοῦμαι, [2] ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης, ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων, ὀργίζεσθαι.—Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε, οὔτε ἀλλότρια πράγματα πράξας, νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν· ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν [3] κατέστην, μή, διὰ τὴν ἀπειρίαν, ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ [4] τὴν κατηγορίαν ποιήσωμαι· ὅμως δὲ πειράσομαι ὑμᾶς, ἐξ ἀρχῆς, ὡς ἂν δύνωμαι, [5] δι' ἐλαχίστων διδάξαι.

Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι· ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε, οὔτε [6] ἡμεῖς, οὔτε ἐκεῖνος, δίκην οὔτε ἐδικασάμεθα οὔτε ἐφύγομεν· ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι.—Ἐπειδὴ δ' οἱ τριάκοντα, πονηροὶ μὲν καὶ συκοφάνται ὄντες, [7] εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν, καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τρέπεσθαι· τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων· ὡς ἐγώ, περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπών, καὶ περὶ τῶν ὑμετέρων, ἀναμνῆσαι πειράσομαι.

Θέογνις γὰρ καὶ Πείσων ἔλεγον, ἐν τοῖς τριάκοντα, περὶ τῶν μετοίκων, ὡς εἶεν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι πρόφασιν—τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι· [8] πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν δ' ἀρχὴν δεῖσθαι χρημάτων. Καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον. Ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους, [9] περὶ οὐδενὸς ἡγοῦντο· λαμβάνειν δὲ χρήματα, περὶ

πολλοῦ ἐποιοῦντο. Ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν· τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων οὕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται· ὥσπερ τι τῶν ἄλλων εὐλόγως [1] πεποιηκότες. Διαλαβόντες δὲ τὰς οἰκίας, ἐβάδιζον· καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. Ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. Εἶπον οὖν, ὅτι [2] τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι. Ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. [3] Ἠπιστάμην μὲν οὖν, ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν· ἐπειδὴ δὲ ὤμοσεν, ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι. Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. [3] Ἐπεὶ δὲ οὐχ ὅσον ὡμολογήκειν εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυρίου καὶ τετρακοσίους [4] κυζικηνούς, καὶ ἑκατὸν [5] δαρεικούς, καὶ φιάλας ἀργυρίου τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι· [6] ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. Ἐξιοῦσι δέ μοι καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες· καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν, ὅπη βαδίζοιμεν. Ὁ δ' ἔφασκεν, [7] εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. Ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν [8] εἰς Δαμνίππου. Πείσων δὲ προσελθὼν σιγᾶν με παρεκελεύετο, καὶ θαρρεῖν, ὡς ἥξων ἐκεῖσε. Καταλαμβάνομεν δὲ αὐτόθι

Θέογνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο. [1]Ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. Καλέσας δὲ Δάμνιππον, λέγω πρὸς αὐτὸν τάδε, "Ἐπιτήδειος μέν μοι τυγχάνεις "ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν· ἀδικῶ δ' οὐδέν· χρη"μάτων δ' ἕνεκα ἀπόλλυμαι· σὺ οὖν ταῦτα πάσχοντι "μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν "ἐμὴν σωτηρίαν." Ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. Ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι· ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτὸν, εἴ τις ἀργύριον διδοίη. Ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι,—ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη,—ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι· ἐνθυμουμένῳ ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι· ἐὰν δὲ ληφθῶ, ἡγούμην μὲν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι· εἰ δὲ μὴ, ὁμοίως ἀποθανεῖσθαι. Ταῦτα διανοηθεὶς, ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείᾳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι [2]ἀνεῳγμέναι ἔτυχον. Ἀφικόμενος δὲ [3]εἰς Ἀρχένεω τοῦ ναυκλήρου, ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ. Ἧκων δὲ ἔλεγεν, ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. Καὶ ἐγὼ τοιαῦτα πεπυσμένος, τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μεγάραδε. Πολεμάρχῳ δὲ [4]παρήγγειλαν οἱ τριάκοντα τὸ ἐπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν, δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· [5]οὕτω πολλοῦ ἐδέησε κριθῆναι, καὶ ἀπολογήσασθαι. Καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεὼς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν, οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι, [6]προύθεντο αὐτόν. Καὶ πολλῶν ὄντων ἱματίων, αἰτοῦσιν οὐδὲν ἔδοσαν

εἰς ταφὴν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ τι ἕκαστος ἔτυχεν, ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. Καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον, καὶ ἔπιπλα, καὶ ἱμάτια γυναικεῖα, ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατὸν, ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν, εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο, καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο. Τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας, οὓς ἔχουσα ἐτύγχανεν, ὅτε τὸ πρῶτον ἦλθεν εἰς τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν, [1]ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες· οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει· ἀλλὰ πάσας μὲν τὰς [2]χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφορὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας, καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους, τοιούτων ἠξίωσαν· οὐχ ὁμοίως [3]μετοικοῦντας, ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. Οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες, ἀτάφους ἐποίησαν· πολλοὺς δ' ἐπιτίμους ὄντας, ἀτίμους κατέστησαν· πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι, ἐκώλυσαν· καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. Ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν· [4]μετῆν γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. Νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε πρὸς ἐμέ. Τὸν ἀδελφὸν

γάρ μου, ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν.—[1] Ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι, ὦ ἄνδρες δικασταί. Τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ, καὶ πρὸς αὐτὸν τοῦτον, ὅσιον καὶ εὐσεβές.—Ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, εἴ τι ἄν σε ἐρωτῶ.—Ἀπήγαγες Πολέμαρχον, ἢ οὔ;—Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν.—Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίνοντο περὶ ἡμῶν;—Ἦν.—Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες;—Ἀντέλεγον.—Ἵνα ἀποθάνωμεν;—Ἵνα μὴ ἀποθάνητε.—Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια;—Ἄδικα.—Εἶτ', ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν, ἵνα σώσειας, συνελάμβανες δὲ, ἵνα ἀποκτείνοις; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φὴς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι· ἐπειδὴ δὲ [2] ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μὴ, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; [3] εἶθ' ὅτι μὲν, ὡς φὴς, ἀντειπὼν, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι· ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν,—εἴπερ ἀληθῆ λέγει, φάσκων ἀντειπεῖν,—ὡς αὐτῷ προσετάχθη· οὐ γάρ δή που ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. [4] Ἔπειτα τῷ ἧσσον εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανεν, καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; Ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων, εἰς τοὺς

τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι ἴσως, ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν δὲ [1]παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν;—[2]καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, κατὰ τὰ τούτοις ἐψηφισμένα, ἀλλ' ἐν τῇ ὁδῷ σώζοντα αὐτὸν, συλλαβὼν ἀπήγαγεν.—Ὑμεῖς δὲ πάντες ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι ἢ ὑμῶν ἢ τῶν ἡμετέρων τινός. Καί τοι εἰ χρὴ τούτοις, διὰ τὴν ἑαυτῶν σωτηρίαν ἑτέρους ἀπολέσασι, συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε· κίνδυνος γὰρ ἦν πεμφθεῖσι, μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι· τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν, ὅτι οὐκ ἀπήντησεν· ἔπειτα, ὅτι οὐκ οἶδεν· ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν· ὥστε μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων οἷόν τε εἶναι ἐξελεγχθῆναι.—Χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστὸς, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι, ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. Νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου, ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις, ὥστε τούσδε, ἐκ τῶν ἔργων, χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων, τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. Οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι· ὥστε [3]ἐπὶ τούτοις ἐστὶ, πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. Τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι,

εἰ βούλει, ἀντειπεῖν. Θαυμάζω δὲ, τί ἄν ποτε ποιήσαις συνειπὼν, ὁπότε ἀντειπεῖν φάσκων, ἀπέκτεινας Πολέμαρχον. Φέρε δὴ, [1]τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς, [2]ἀπεψηφίσασθε; (ἢ οὔ;) δεῖ γὰρ, ὦ ἄνδρες δικασταὶ, Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. Οὗτος δὲ ὡμολόγησεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν [3]τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν, εἰσόμενοι, τίνα γνώμην περὶ τούτων ἕξετε· ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖται, μάθοντες [4]αἰτίασιν, ὅτι ἢ δίκην δώσουσιν, ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. [5]Ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται, πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων, ἢ δικαίως. [6]Εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες, λαβόντες ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τειρομένους. [7]Οὐκ οὖν δεινὸν, εἰ τοὺς μὲν στρατηγοὺς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν· τούτους δὲ δὴ, οἳ ἰδιῶται μὲν ὄντες, καθόσον ἐδύναντο, [8]ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι;—οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι; Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἠξίουν ἱκανὰ εἶναι [9]τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ [10]τῷ φεύγοντι ἄξια εἰργάσθαι· ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν· ὥστ' οὐκ

οἶδ', ὅ τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ', ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες, [1] δίκην δοῦναι δύναιντ' ἄν. [2] Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστίν· πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, [3] περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνῦντες, ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες· ἢ πόλεις, πολεμίας οὔσας, φίλας ἐποίησαν. [4] Ἐπεὶ—κελεύετε αὐτὸν ἀποδεῖξαι, ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν· ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν· ἢ πόλιν ἥντινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ἡμετέραν κατεδουλώσαντο. [5] Ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν, ὅσαπερ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τὴν ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, [6] ἀλλ' ὡς αὐτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν· πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστιν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. [7] Οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει [8] τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ [9] ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστάς, ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους, καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. Ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττεν. Καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ

[1]ἡ ναυμαχία, καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, [2]ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. Οὗτοι δὲ [3]φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅ τι δέοι χειροτονεῖσθαι καὶ οὕστινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν. Οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων, πολιτῶν ὄντων, [4]ἐπεβουλεύεσθε, ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσεσθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. Τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ [5]οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται· καὶ ὑμᾶς ἡγοῦντο, τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. Ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε [6]συμπράττοντας, οὐ γὰρ ἂν δυναίμην, ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας· καίτοι εἰ ἐσωφρόνουν, [7]κατεμαρτύρουν ἂν αὐτῶν· καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων σφόδρα ἂν ἐκόλαζον, [8]καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνομίζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. Πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω. Τοὺς δὲ μάρτυράς μοι κάλει. Καὶ ὑμεῖς ἀνάβητε.
ΜΑΡΤΥΡΕΣ.

Τῶν μὲν μαρτύρων ἀκηκόατε. Τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν· καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν·—[9]καὶ Βάτραχος καὶ Αἰσχυλίδης οὐ τἀληθῆ

μηνύουσιν, ἀλλὰ τἀληθῆ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, [1]ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες· ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. Ὁπόσοι δ' εὖνοι φασὶν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες; Ἴσως δ' ἂν ἔχοι εἰπεῖν, ὅτι ἐδεδοίκει,—καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται,—ὅπως τι μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· [2]εἰ δὲ μή, ἐνταυθοῖ δῆλος ἔσται, ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. Χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν· [3]ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς, φίλους· ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας, ὁπότεροι [4]μόνοι πάντα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. Καὶ γὰρ εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ [5]Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὐτοῦ [6]εὔνοιαν; Ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν, μετὰ τῶν συναρχόντων, εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον [7]κατεψηφίσατο. Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν, [8]καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν, καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδοξαν. Οἱ μὲν γὰρ ἐκ Πειραιῶς, κρείτ-

τοὺς ὄντες, [1]εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον, πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. Τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος, καὶ Ἱπποκλῆς, καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς, καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὖτις εἰς τὴν ἀρχὴν [2]κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ [3]τοῖς ἐξ ἄστεος ἐποίησαν· ᾗ καὶ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον, οὐδ' οἱ [4]τεθνειότες αὐτοὺς ἐλύπουν, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι· ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θᾶσσον πλουτοῦντες. Λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τριάκοντα, πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι· καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι, εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως· εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως· οὐ γὰρ δι' ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων· ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν, τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε· καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν· ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι· διαβάλλων, ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. Οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ [5]τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν οὐ βουλομένων, [6]ἑκατὸν τάλαντα ἐδανείσατο, [7]ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι. Καὶ Λύσανδρον ἄρχοντα ᾐτήσατο,

εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει· μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. Μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, [1] καὶ τελευτῶντες Λακεδαιμονίους, καὶ [2] τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· [3] εἰ μὴ δι' ἄνδρας ἀγαθοὺς, οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. Ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοὶ, καὶ οἶδ' ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι· [4] ὅμως δέ· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον, [5] ὡς πλεῖστον, τοὺς αὐτοὺς λόγους ἀκούειν. ΜΑΡΤΥΡΕΣ.

Φέρε δὲ καὶ περὶ Θηραμένους ὡς δύνωμαι [6] διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως· [7] καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ. Πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσασθαι αὐτὸν, ὅτι ἐκείνοις φίλος ἦν, καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. Καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον, προσποιεῖσθαι πράττειν ὅπως οἰκοδομηθήσεται τὰ τείχη· ὁπότε καὶ μετὰ Θηραμένους, ὅπως καθαιρεθήσεται. [8] Οὐ γάρ μοι δοκοῦσιν ἴσων ἄξιοι γεγενῆσθαι. Ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτὰ, οὗτος δὲ, τοὺς πολίτας ἐξαπατήσας, καθεῖλε. Περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. [9] Ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις [10] ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων· νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. Ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. Καὶ

ὁ μὲν πατὴρ αὐτοῦ, τῶν προβούλων ὢν, ταῦτ' ἔπραττεν· αὐτὸς δὲ, δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ᾑρέθη. Καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα [1]πρᾳοτέρους αὐτοῦ γενομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον [2]τούτων ἀκροᾶσθαι, τότ' ἤδη, διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν Ἀριστοκράτους ἔργων. Βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον, φιλτάτους ὄντας αὐτῷ, κατηγορῶν ἀπέκτεινεν. Εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν, διὰ τὴν [3]πρὸς ἐκείνους πίστιν, ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς, τοὺς φίλους ἀπώλεσεν. Τιμώμενος δὲ, καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε· φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. Ὑπέσχετο δὲ εἰρήνην ποιήσειν, μήτε ὅμηρα δοὺς, μήτε τὰ τείχη καθελὼν, μήτε τὰς ναῦς παραδούς. Ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. Ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, [4]πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες δὲ, ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων οὕνεκεν τἀπόῤῥητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς. Ὁ δὲ ὧν μὲν ὑπέσχετο, οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. Ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη, οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι· οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν, καὶ

τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι· εὖ εἰδὼς, ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. Καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταὶ, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. Τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων Λυσάνδρου, καὶ Φιλοχάρους, καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν· ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο, μήτε ἀπειλοῖτο· ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα ψηφίσαισθε· ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέφηνεν· ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι, ἐθορυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. Ἐγινώσκετε γὰρ, ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δὲ, ὦ ἄνδρες δικασταὶ,—καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι,—εἶπεν, ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι· μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς, ἄλλα τε πολλὰ τολμηρῶς εἶπε, καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσαιθ' ἃ Θηραμένης κελεύοι. Τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες· τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες, καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι, τὰ προσταχθέντα ἐχειροτόνησαν.

Παρηγγέλλετο γὰρ αὐτοῖς, δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε, χειροτονῆσαι, δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. Οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων, καὶ τὴν αὑτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. Ταῦτα δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ· πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα, ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν· ὀνειδίζων μὲν [1]τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν· οὐδὲν φροντίζων δὲ τῶν Λακεδαιμονίων· ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ, αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτῷ ἔργῳ δεδωκὼς, καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. [2]Καὶ τοσούτων δὲ ἑτέρων κακῶν καὶ αἰσχρῶν, καὶ πάλαι καὶ νεωστὶ, καὶ μικρῶν καὶ μεγάλων [3]αἴτιοι γεγενημένοι, τολμήσουσιν αὑτοὺς φίλους ὄντας ἀποφαίνειν; οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὑτοῦ πονηρίας· καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος,—ἤδη γὰρ αὐτὴν κατέλυσε,—δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν· καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς. Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα. Ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν [4]τούτων συναρχόντων δίκην λαβεῖν· μηδὲ μαχομένους κρείττους εἶναι τῶν πολεμίων· ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. Μηδ' ὧν φασὶ μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδ' τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πό-

λει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. Κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει, καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. Ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει. Οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων· [1]ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. Καίτοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτως ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν· παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν, ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, λάβοιτε. Τί γὰρ ἂν παθόντες, δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; Πότερον, εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν; Ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσαιτε, καλῶς ἂν ἔχοι, ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε [2]λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἥντινοῦν ἀπολιπεῖν ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν; Πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνὶ, οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας· [3]τοσοῦτον ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν. Ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένοις, ὅτι οὔτ' ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐρεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε. [4]Ἀλλὰ καὶ τῶν συνερούντων αὐτοῖς ἄξιον

θαυμάζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται, τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς τούτων πονηρίας·—ἐβουλόμην μὲν τ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι·—ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες, αὐτῶν κατηγοροῦσι· [1]σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. Καίτοι οὗτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δὲ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. [2]Οὐκ οὖν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν ἢ που ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται; Καὶ μὲν δὴ πολὺ ῥᾷον ἡγοῦμαι εἶναι, ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε [3]ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. Καίτοι λέγουσιν, [4]ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι· [5]ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, [6]οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι· ὑμεῖς δὲ δείξατε, ἥντινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. Εἰ μὲν γὰρ τούτου [7]καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. Νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφί-

ζεσθαι. Ὥστε συμβουλεύω, μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. Μηδ' [1] οἴεσθαι κρύβδην τὴν ψῆφον· φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε.

[2] Βούλομαι δὲ, ὀλίγα ἑκατέρους ἀναμνήσας, καταβαίνειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ Πειραιῶς· ἵνα τὰς ὑμῖν διὰ τοῦτον γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. Καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεός ἐστε, σκέψασθε, ὅτι ὑπὸ τούτων οὕτω [3] σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, [4] ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νικήσασι τὸ ἴσον εἴχετε, νικήσαντες δ' ἂν, [5] τούτοις ἐδουλεύετε. Καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν [6] ἐκ τῶν πραγμάτων μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἐλάττους εἴχετε. [7] Συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι δ' ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. Ἀνθ' ὧν ὑμεῖς, νῦν ἐν τῷ θαῤῥαλέῳ ὄντες, καθόσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ Πειραιῶς τιμωρήσασθε. Ἐνθυμηθέντες μὲν, ὅτι ὑπὸ τούτων, πονηροτάτων ὄντων, ἤρχεσθε, ἐνθυμήθεντες δὲ, ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε, καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε· ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς οὗτοι [8] φύλακας τῆς σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. Καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. Ὅσοι δ' ἐκ Πειραιῶς ἐστε, [9] πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων, εἰρήνης οὔσης, ἀφῃρέ-

θητε τὰ ὅπλα· ἔπειθ᾽, ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐξῃτοῦντο. Ἀνθ᾽ ὧν ὀργίσθητε μέν, ὥσπερ ὅτ᾽ ἐφεύγετε· ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ᾽ αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ᾽ ἐκ τῶν ἱερῶν συναρπάζοντες, βιαίως ἀπέκτειναν· τοὺς δέ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες, φονέας αὑτῶν ἠνάγκασαν γενέσθαι, [1] καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν· ἡγούμενοι τὴν αὑτῶν ἀρχὴν βεβαιοτέραν εἶναι [2] τῆς παρὰ τῶν θεῶν τιμωρίας. Ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ᾽ ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν Πειραιᾶ. Πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ᾽ εἰς τὴν πατρίδα κατηγάγετε. Εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, [3] αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε, μὴ πάθητε τοιαῦτα, οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερά, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους [4] διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίνεται· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο· οἱ δ᾽ [5] ἐπὶ ξένης, [6] μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον, ἐρημίᾳ τῶν ἐπικουρησόντων. [7] Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. Οὐδὲ γὰρ ἑνὸς κατηγόρου, οὐδὲ δυοῖν ἔργον ἐστίν, ἀλλὰ πολλῶν. [8] Ὅμως δὲ τῆς ἐμῆς προθυμίας οὐδὲν ἐλλέλειπται ὑπὲρ τῶν ἱερῶν, ἃ οὗτοι [9] τὰ μὲν ἀπέδοντο, τὰ δ᾽ εἰσιόντες ἐμίαινον· ὑπέρ τε τῆς πόλεως,

ἣν μικρὰν ἐποίουν· ὑπέρ τε τῶν νεωρίων, ἃ καθεῖλον· καὶ ὑπὲρ τῶν τεθνεώτων, [1] οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε· οἶμαι δ' αὐτοὺς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας· ἡγουμένους, ὅσοι μὲν ἂν τούτων [2] ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι· ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν [3] τιμωρίας πεποιημένους. Παύσομαι κατηγορῶν. Ἀκηκόατε· ἑωράκατε· πεπόνθατε· ἔχετε· δικάζετε.

II.

[1] Ex ISOCRATE.

[Juxta Edit. Athanasii Augeri. Paris. 1782. 8vo.]

ISOCRATES in diverso genere dicendi nitidus et compositus, et palæstræ quam pugnæ magis accommodatus, omnes dicendi Veneres sectatus est; nec immeritò. Auditoriis enim se, non judiciis comparârat. In inventione facilis, honesti studiosus, in compositione adeò diligens, ut cura ejus reprehendatur.

Quinct. X.

[2] ἸΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ

ΛΟΓΟΣ.

Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ [3] διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν [4] εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. Οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. Καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· [5] τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. Ἡγούμενος οὖν πρέπειν [6] τοὺς δόξης ὀρεγομένους, καὶ [7] παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων, εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συν-

ηθείας. Πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν.

Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν [1] ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους [2] τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, [3] οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν· ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, [4] ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι.

Διόπερ ἡμεῖς, [5] οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομεν σοὶ συμβουλεύειν ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν· ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι. [6] Κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος δὲ, κακίας μᾶλλον ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. [7] Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα [8] τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει· πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί· τὰ μὲν τοῖς

ἄλλοις ἀδύνατα, δυνατὰ καθιστῶσα· τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον, ψόγον, τὸν δὲ πόνον, ἔπαινον ἡγουμένη. Ῥάδιον δὲ τοῦτο καταμαθεῖν ἐστὶν ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι [1] τῶν ἐκείνοις πεπραγμένων.

[2] Οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. Οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥαθυμῶν, διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. Οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος· οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν καὶ μεγαλοπρεπὴς, [3] καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας ἢ τοὺς τῷ γένει προσήκοντας. Ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου· καὶ τρόπον γένους· καὶ προαίρεσιν ἀνάγκης.

Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. [4] Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν· δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν [5] ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ σε ζῆν, ὥσπερ πρὸς παράδειγμα· νόμον μὲν, τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. Αἰσχρὸν γὰρ, τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. Ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοι σκοπεῖν ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν.

[a] Οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. Τὰ μὲν γὰρ σώματα, τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ, τοῖς σπουδαίοις λόγοις, [1] αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι [2] συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. Ἐκεῖνο μὲν γὰρ, τῆς τῶν χρημάτων εὐπορίας σημεῖον· τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως. Οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν.

Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων ἔτι πονεῖν δυνάμενος.

Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου. Τὸ μὲν γὰρ, ἀνόητον· τὸ δὲ, μανικόν.

Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν. Δι' ἐκεῖνο μὲν γὰρ, [3] αὐθάδης· διὰ δὲ τοῦτο, φρόνιμος εἶναι δόξεις.

Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. Τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς σαυτῷ γε συνειδήσεις.

Τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα.

Τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.

Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. Τέρψις γὰρ, σὺν τῷ καλῷ μὲν, ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον.

Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν. Οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

Μάλιστα δ᾽ ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής.

Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον, μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων, μὴ λαβεῖν.

Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω. Τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.

Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τὶ χρήσιμον ἐπαγγελλομένους. Αἰσχρὸν γὰρ, τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν, τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας· εὐπροσηγορίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ [1] τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν. Πλησμονὴ γὰρ ἁπάντων.

Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν.

[2] Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ ἐν τῷ κέρδει τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. Ἐν δὲ τῇ ὀργῇ, ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν [3] ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν, ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. [4] Δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Προσήκειν ἡγοῦ, τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ δὲ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν.

[5] Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις· ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. Δόξεις γὰρ τοῖς μὲν, ἐπιορκεῖν, τοῖς δὲ, [6] φιλοχρημάτως ἔχειν.

Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς προτέροις φίλοις. Ἔλπιζε γὰρ αὐτὸν καὶ περί σε γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ, πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἂν, μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ, περὶ δὲ τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοινῇ. [1]Μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ.

Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. Τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν.

Οὕτω δ' ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος, ἐν τοῖς καιροῖς, αὐτοῖς βοηθῇς.

Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.

Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. Πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι.

Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας· ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Ἔστι δὲ φιλοκάλου μὲν, τὸ μεγαλοπρεπές· καλλωπιστοῦ δὲ, τὸ περίεργον.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων. [2]Παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

[1] Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις· κτήματα δὲ, τοῖς κτᾶσθαι δυναμένοις.

Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, [2] τοῦ τε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. Πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲ ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς. Κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον.

Τοὺς ἀγαθοὺς εὖ ποίει. Καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. Ἐκεῖναί τε γὰρ τοὺς διδόντας, [3] ὥσπερ τοὺς τυχόντας, ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας, ἀδικοῦσι.

Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. Ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν.

[4] Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον σοὶ χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους.

Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. Τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι [5] καρτερήσειαν· τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δὲ ἔσῃ, μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως [6] ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων. Μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. Μηδὲ τὰς χάριτας ἀχα-

ρίστως χαριζόμενος· [1]ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. Μηδὲ φιλαίτιος ὤν· βαρὺ γάρ. Μηδὲ φιλεπιτιμητής· παροξυντικὸν γάρ.

Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτε σοὶ συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. Ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτάνοντα τῶν εὐθυνόντων· ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας.

[2]Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ [3]προσεζημίωσε τοὺς ἔχοντας. Πολλάκις γὰρ, οὓς τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. Ἀρχὴ γὰρ φιλίας μὲν, ἔπαινος· ἔχθρας δὲ, ψόγος.

Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. Τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν θεοῦ εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν.

Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος. Οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.

Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον πῶς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν. Ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Οὕτω δ' ἂν κάλλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας. Καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

[1]Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι, καὶ ζηλοῦν. Ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν.

Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν.

[2]Εἰς ἀρχὴν κατασταθεὶς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου, μὴ πλουσιώτερος ἀλλ' ἐνδοξότερος. Πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

[3]Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσοι ἔχειν· ἵνα δοκῇς [4]ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν.

Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον.

Τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. Κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. Οἱ γὰρ δίκαιοι, τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν,[1] ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. Μέγιστον γὰρ ἐν ἐλαχίστῳ, νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίστῃ τὰ συμφέροντα.

Πᾶν, ὅ τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. Πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾷν ἢ λέγειν.

Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. Οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρής· οὔτε δυστυχῶν περίλυπος.

Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν·[2] γίνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος. Ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν· τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.

Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. Δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δὲ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. Τὸ μὲν γὰρ τελευτῆσαι, πάντων [1] ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

Καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. Οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. Τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. Ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν ὧν ἂν ἔχω σοὶ συμβουλεύειν.

Πολλὴν δ' ἂν τῷ θεῷ [2] χάριν σχοίην εἰ μὴ διαμάρτοιμι τῆς δόξης, [3] ἣν ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων, τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. Σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σοῦ παιδείαν φιλοπονίᾳ. Τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι.

Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. Ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾷν, εὐθὺς

[1] αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. Τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ [2] τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. Ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. Τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν.

Ἐνθυμοῦ δὲ διότι τοῖς μὲν [3] φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν· εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν· τοῖς δὲ σπουδαίοις [4] οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως. Ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους, ἀποδοκιμάζομεν, ἦ που τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. Ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν· οἱ δὲ, σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν.

Εἰ δὲ δεῖ, θνητὸν ὄντα, τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε· τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν.

Οἷς χρὴ παραδείγμασι χρωμένους, [1] ὀρέγεσθαι τῆς καλοκἀγαθίας· καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρους ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας [2] τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

III.

[1] E DEMOSTHENE.

[AD EDIT. JOAN. JAC. REISKE. LIPS. 1770. 8VO.]

Planè quidem perfectum et cui nihil admodum desit DEMOSTHENEM *facile dixeris.* CIC. DE CLARIS. ORAT. CAP. IX.

[2] ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ

[3] ΦΙΛΙΠΠΟΥ Α΄.

[4] ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ.

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι, συνηληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. Ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων, οὐδὲν εἶναι θαυμαστὸν, εἰ ῥαθυμοῦντες κεκράτηνται· [5] καὶ εἰσηγεῖται, πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. Κελεύει δὴ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω, [6] πολιτικὴν, ἥτις οἴκοι μένουσα, πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει· ἑτέραν δὲ ἐλάττονα, ξένων ὄντων τῶν στρατευομένων, [7] παραμεμιγμένων δέ· καὶ ταύτην κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, [8] μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας· [9] ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι, πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ [10] τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος, ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατὸν, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων, ἁπάντων κρατῇ· ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιτεταγμένη δύναμις ὑπάρχῃ.

[1]Ει μὲν περὶ καινοῦ τινος πράγματος προυτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, [2]ἐπισχὼν ἂν, ἕως [3]οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μὴ, [4]τότ' ἂν καὶ αὐτὸς ἐπειρώμην, ἃ γιγνώσκω, λέγειν. [5]Ἐπειδὴ δὲ, περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι, καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν· εἰ γὰρ, ἐκ τοῦ παρεληλυθότος χρόνου, τὰ δέοντα οὗτοι [6]συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι. Πρῶτον μὲν οὖν οὐκ [7]ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ [8]φαύλως ἔχειν δοκεῖ· ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο, πρὸς τὰ μέλλοντα, βέλτιστον ὑπάρχει. Τί οὖν ἐστὶ τοῦτο; ὅτι οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα ἔχει· ἐπείτοιγε εἰ, πάνθ' ἃ προσῆκε πραττόντων, οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. [9]Ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην πότ' ἐχόντων δύναμιν Λακεδαιμονίων, [10]ἐξ οὗ χρόνος οὐ πολὺς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε, [11]ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων, τὸν πρὸς ἐκείνους πόλεμον. Τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φοβερὸν, οὔτ', ἂν ὀλιγωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι,—τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, [12]ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, [13]καὶ τῇ νῦν ὕβρει τούτου,—δι' ἣν ταραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν, ὧν ἐχρῆν. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, [14]καὶ τὸ

τὰ χωρία ταῦτα πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται· λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον [1] οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε· καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ ἐκείνῳ. Εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν Ἀθηναίοις ἐστὶν, ἔχουσι τοιαῦτα ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας, ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν, ὧν νυνὶ πεποίηκεν, ἔπραξεν· οὐδὲ τοσαύτην ἐκτήσατ' ἂν δύναμιν· ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. Καὶ γάρ τοι, ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα [2] κατέστραπται καὶ ἔχει, τὰ μὲν, ὡς ἂν ἑλών τις ἔχοι πολέμου νόμῳ· τὰ δὲ, σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, [3] καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν—ἐπειδήπερ οὐ πρότερον—καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν χρήσιμον τῇ πόλει παρασχεῖν αὐτὸν, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, ἕτοιμος πράττειν ὑπάρξῃ·—ὁ μὲν χρήματ' ἔχων, εἰσφέρειν· ὁ δ' ἐν ἡλικίᾳ, στρατεύεσθαι· [4] συνελόντι δ' [ἁπλῶς] εἰπεῖν, [5] ἢν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν,—καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς ἐθέλῃ, καὶ [6] τὰ κατερρᾳθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε. Μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα

πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον, καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν αὐτῷ· καὶ ἅπανθ', ὅσα περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις [1]ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. [2]Κατέπτηχε μέντοι ταῦτα πάντα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν, διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. Ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα· [3]οἷα προελήλυθεν ἀσελγείας—ἄνθρωπος,—ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει· [4]καὶ οὐχ οἷός τέ ἐστιν, ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων· ἀλλ' αἰεί τι προσπεριβάλλεται, καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς καὶ καθημένους [5]περιστοιχίζεται. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται; ἐπειδὰν, νὴ Δία, ἀνάγκη τίς ᾖ; Νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; [6]ἐγὼ μὲν γὰρ οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. Ἢ βούλεσθε, εἰπέ μοι, [7]περιϊόντες αὐτοῦ, πυνθάνεσθαι κατὰ τὴν ἀγορὰν,—Λέγεταί τι καινόν; [8]γένοιτο γὰρ ἄν τι καινότερον, ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν;—Τέθνηκε Φίλιππος;—οὐ μὰ Δί'. Ἀλλ' ἀσθενεῖ;—τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ, ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἄν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν. Οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν. Καίτοι καὶ τούτων εἴ τι πάθοι, καὶ τὰ τῆς τύχης ἡμῖν ὑπάρξει, (ἡ γὰρ αἰεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν, ἐπιμελουμένη, καὶ τοῦτ' ἂν ἐξεργάσαιτο,) ἴσθ' ὅτι, πλησίον μὲν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες, [9]ὅπως βούλεσθε διοικήσαισθε· [10]ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφί-

πόλιν, δέξασθαι δύναισθ' ἂν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς, καὶ ταῖς γνώμαις. [1] Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· Τὸν δὲ τρόπον τῆς παρασκευῆς, [2] ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕς τινας χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον· ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγείσθω· [3] οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν· οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν· [4] ἀλλ' ὃς ἂν δείξῃ, τίς πορισθεῖσα παρασκευὴ, καὶ πόση, καὶ πόθεν διαμεῖναι δυνήσεται, [5] τέως ἂν ἢ διαλυσώμεθα, πεισθέντες, τὸν πόλεμον, ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ [6] οὐκ ἔτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς.

[1]ΔΗΜΟΣΘΕΝΟΥΣ

ΟΛΥΝΘΙΑΚΟΣ Α′.

ΥΠΟΘΕΣΙΣ.

[2] Προσηκάντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον, [3] καὶ δεδιόσιν, ὡς δυσπολεμήτου ὄντος τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης, πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα· καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναί φησι, καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας [4] ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

[5] ἘΠΙ πολλῶν μὲν ἂν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γενομένην τῇ πόλει· οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι· [6] τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ὅμορον, καὶ δύναμίν τινα κεκτημένους, καὶ, τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς, πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι,—δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. [7] Δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτοὺς, ὅπως μὴ [8] χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξωμεν τῶν ὑπαρχόντων· [9] ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων, ὧν ἦμέν ποτε κύριοι, [10] φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν. [11] Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι· διὰ τί;—ὅτι μοι δοκεῖ πάνθ', ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν

φιλοτιμίαν τινὰ, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι· ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖν δὲ ὅσῳ χεῖρον, ἢ προσῆκε, κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα [1]αἰσχύνην ὠφλήκατε. Ταῦτα μὲν οὖν παραλείψω· καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ. [2]Ὡς οὖν, ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν· [3]ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιόν ἐστιν, ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη, βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι. Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενήν. Δικαίως. [4]Τὸ δὲ πάνθ', ὅσα πώποτ' ἔπραξε, διεξιόντα, ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, [5]τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· [6]καὶ τοῦ τοὺς ὑπερεκπεπληγμένους, ὡς ἀμαχόν τινα, τὸν Φίλιππον, ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος, μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματ' αὐτῷ. Ἐγὼ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι καὶ θαυμαστὸν τὸν Φίλιππον, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ, θεωρῶν καὶ σκοπῶν, [7]εὑρίσκω, τὴν μὲν ἡμετέραν εὐήθειαν τοκαταρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τῷ τὸ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ προσαγόμενον· τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα, τῷ Ποτίδαιαν, οὖσαν

ὑμετέραν, ἐξελεῖν· καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις· Θετταλοὺς δὲ νῦν [1]τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι, καὶ τὸν Φωκικὸν [2]πόλεμον ὑπὲρ αὐτῶν πολεμήσειν ἀναδέξασθαι. Ὅλως δὲ οὐδείς ἐστιν, ὅντιν' οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων ἄνοιαν αἰεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν, καὶ προσλαμβάνων, οὕτως ηὐξήθη. Ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν· οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο παρέστη Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις, ἐμοί,—μᾶλλον δὲ ὑμῖν, δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. Καὶ μὴν εἴ τις ὑμῶν, ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ [3]βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία, καὶ λιμένας, καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ, καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν, καὶ φέρειν τὰς συμφοράς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι. Ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις, ὥσπερ οὗτος, ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντα [4]ἀνεχαίτισε καὶ διέλυσεν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον, δύναμιν βεβαίαν κτήσασθαι· ἀλλὰ τὰ τοιαῦτα, [5]εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει· καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, [6]ἂν τύχῃ· [7]τῷ χρόνῳ δὲ φωρᾶται, καὶ [8]περὶ αὐτὰ καταρρεῖ. Ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων, τὰ

κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. Τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ. Φημὶ δὴ δεῖν ὑμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα [1]οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσὶν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν, καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. Σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον [οἱ παρ' ἡμῶν πρέσβεις] ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, [2]ἐξεληλυθότων ἡμῶν ἀξίως τῆς πόλεως, καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν· ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, ματαιόν τι φαίνεται καὶ κενὸν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ. Πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον τὴν μεταβολὴν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. Κἂν ταῦτα ἐθελήσητε, ὡς προσήκει καὶ δεῖ, περαίνειν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται. Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ, ἐν μὲν προσθήκης μέρει ἐστί τις οὐ σμικρὰ, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ, πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι [3]τοῦτο συναμφότερον, νυνὶ δὲ Θετταλοῖς νοσοῦσι, καὶ στασιάζουσι, καὶ τεταραγμένοις, [4]ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε· καὶ ὅποι τις ἂν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. Αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστὶ μεστή· καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς

στρατείαις, εἴτ' ἐπισφαλεστέραν αὐτὴν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν, καὶ τοὺς ἀρχομένους· ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ [1]τοῦτο ἐζήλωκε καὶ προήρηται, πράττων καὶ κινδυνεύων, ἂν συμβῇ, τι παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι· κοπτόμενοι δὲ αἰεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω τε καὶ κάτω, λυποῦνται, καὶ συνεχῶς ταλαιπωροῦσιν [2]οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμενοι διατρίβειν, [3]οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως, ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς. Οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι, καὶ [4]πεζέταιροι, δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ [5]συγκεκροτημένοι τὰ τοῦ πολέμου· ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων [6]τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. Εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς [7]οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα· πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τὴν φιλοτιμίαν τἀνδρὸς ἀνυπέρβλητον εἶναι. Εἰ δέ τις σώφρων, ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου, καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεωρᾶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. Λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς, καὶ κόλακας, καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα, οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. Δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ. Καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς

πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, [1]Καλλίαν ἐκεῖνον τὸν δημόσιον, καὶ τοιούτους ἀνθρώπους, μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων, ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ, καὶ περὶ αὐτὸν ἔχει. Καίτοι ταῦτα, εἰ καὶ μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν· ἀλλ', οἶμαι, [2]νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν. Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη· [3]εἰ δέ τι πταίσειε, τότ' ἀκριβῶς αὐτοῦ ταῦτα πάντ' ἐξετασθήσεται. Δοκεῖ δ' ἔμοι γε, ὦ ἄνδρες Ἀθηναῖοι, [4]δείξειν οὐκ εἰς μακρὰν, ἂν οἵ τε θεοὶ θέλωσι, καὶ ὑμεῖς βούλησθε. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν, τέως μὲν ἂν ἐῤῥωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, [5]κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλό τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ· οὕτω καὶ τῶν πόλεων, καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν· ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δὲ τὸ ὅλον, ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. [6]Οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων, ἃ προσήκει, ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρὸν, ἢ τὴν ἐκείνου. Πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ἡμῖν ἐνούσας, ἢ ἐκείνῳ· ἀλλ', οἶμαι, καθήμεθα, οὐδὲν ποιοῦντες· [7]οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν, μή τι γε δὴ τοῖς θεοῖς. Οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρα-

γενόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς, καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν, μηδ' ὥραν παραλείπων, [1] ἡμῶν μελλόντων, καὶ ψηφιζομένων, καὶ πυνθανομένων περιγίνεται· οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ, περιῆμεν. Ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις [2] ὑμῖν ἐξὸν, οὐκ ἠθελήσατε· ἀλλ', ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, [3] τὰ ὑμέτερ' αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προεκινδυνεύετε στρατευόμενοι· νυνὶ δ' ὀκνεῖτε ἐξιέναι, καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων· καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, [4] καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει· τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολωλεκότες κάθησθε· ταῦτα θαυμάζω· καὶ ἔτι πρὸς τούτοις, εἰ μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ἅπας ὁ χρόνος διελήλυθεν οὗτος· ἴστε γὰρ δή που τοῦθ', ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ, ἅπερ καὶ νυνὶ, ποιούντων, [5] ὁ χρόνος ἅπας διελήλυθεν. [6] Εἶθ' οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα γέγονε τῆς πόλεως, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε πράξεων, ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; [7] ἀλλ' οὔτ' εὔλογον, οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε· [8] πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκε· νυνὶ δὲ ὅ τι μὲν φυλάξομεν, οὐδὲν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον· κτήσασθαι δὲ δεῖ. [9] Αὐτῶν οὖν ὑμῶν ἔργον τοῦτ' ἤδη. Φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν' αἰτιᾶσθαι, πρὶν ἂν [10] τῶν

πραγμάτων κρατήσητε· τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾷν, τοὺς δ' ἀδικοῦντας κολάζειν· [1] τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ γάρ ἐστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ἡμῶν αὐτῶν πρώτων ὑπάρξῃ τὰ δέοντα· τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας, ὅσους ἂν ἐκπέμψητε, στρατηγοὺς, ἰδίους δ' εὑρίσκειν πολέμους;—εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν·—ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε· [2] οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι· μισθὸς δ' οὐκ ἔστιν· [3] ἐκεῖ δὲ, κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων, καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα, ἃ συλῶσιν. Ἐπὶ οὖν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωροῦσιν· ὑμεῖς δὲ, ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε· ὅταν δὲ, [4] δόντες λόγον, τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. Περίεστι τοίνυν ἡμῖν ἀλλήλοις ἐρίζειν, καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα· τὰ κοινὰ δ' ἔχειν φαύλως. Πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, [5] εἰσεφέρετε κατὰ συμμορίας· νυνὶ δὲ πολιτεύεσθε, κατὰ συμμορίας· ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοηθησόμενοι, οἱ τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε, [6] οἱ μὲν ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους. [7] Δεῖ δὴ ταῦτα ἐπανέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους, κοινὸν καὶ τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν ποιῆσαι. [8] Εἰ δὲ, τοῖς μὲν, ὥσπερ ἐκ τυραννίδος, ὑμῶν ἐπιτάττειν, ἀποδώσετε· τοῖς δ' ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι· τοῖς δὲ, ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδοτιοῦν συμπονεῖν· οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν

καιρῷ· τὸ γὰρ ἠδικημένον αἰεὶ μέρος ἐλλείψει· εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται. Λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὧν ἕκαστος ἔχει, τὸ ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα, ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα, ἢ ὁ δεῖνα εἴπῃ. Κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

[1]ΔΗΜΟΣΘΕΝΟΥΣ

ΟΛΥΝΘΙΑΚΟΣ Β'.

ΥΠΟΘΕΣΙΣ.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι· καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς· καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο· ὁ δὲ δῆμος περιχαρὴς, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν Φιλίππου. Ὁ δὲ Δημοσθένης δεδοικὼς μὴ θαρρήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεπομφότες τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθὼν, ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν· καὶ πρὸς εὐλάβειαν σώφρονα, τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· [2]οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι, καὶ ἄλλοι πού τινες, τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα· περὶ δὲ τοῦ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. Ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ [3]τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους, τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικὰ, [4]ἵνα ἄδεια ᾖ τοῦ συμβουλεύειν τὰ βέλτιστα. Παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι, [5]καὶ στρατεύεσθαι σώμασιν οἰκείοις· καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τότε ἐκλελυμένου, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προεστηκότων τῆς πόλεως.

ΟΥΧΙ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν πρὸς τοὺς λόγους, οὓς ἀκούω. Τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γινομένους· τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε, ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. [7]Οὐδὲν οὖν ἄλλό μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν, περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν, ἁμαρτάνειν· Ἐγὼ δ' ὅτι μέν ποτ' ἐξῆν τῇ πόλει, καὶ

τὰ αὑτῆς ἔχειν ἀσφαλῶς, καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· [1]ἐπ' ἐμοῦ γὰρ, οὐχὶ πάλαι, γέγονε ταῦτα ἀμφότερα. Νῦν μέντοι πέπεισμαι [2]τοῦθ' ἱκανὸν προλαβεῖν εἶναι ἡμῖν τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν. Ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, [3]τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτε, καὶ νῦν πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. Ἐγὼ δὲ, οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν· πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. Ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς [4]ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα· ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θρᾴκῃ, τρίτον ἢ τέταρτον ἔτος τουτὶ, Ἡραῖον τεῖχος πολιορκῶν, τότε τοίνυν [5]μὴν μὲν ἦν Μαιμακτηριών· πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ἡμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν, καὶ [6]τάλαντα ἑξήκοντα εἰσφέρειν. Καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, [7]Ἑκατομβαιὼν, Μεταγειτνιὼν, Βοηδρομιών. Τούτου τοῦ μηνὸς μόλις, [8]μετὰ τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε, ἔχοντα Χαρίδημον,

κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου· ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεὼς—ἦλθε γὰρ ἀμφότερα—οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόστολον. [7]Ἦν δ' οὗτος ὁ καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος, τότε σωθείς. Τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι· νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει. Τίς οὗτος; δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. Τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατὸν, [1]θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγκότες ἔσεσθε πάντα ὑπὲρ Φιλίππου. Ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· [2]οὔτε Φίλιππος ἐθάῤῥει τούτους, οὔθ' οὗτοι Φίλιππον· [3]ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ, [4]καὶ δυσχερὲς, [5]πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς, διηλλαγμένην πρὸς ἡμᾶς· ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νυνὶ [6]ὁπωσδήποτε. Τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐῤῥωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν [τῶν] μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δ' χρήμασι Φωκέων· [7]μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. Ἀλλὰ μὲν εἴ τις ὑμῶν [8]εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινὰ, [9]ἐξὸν ἀκούειν ἄλλοθι γινόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι μὲν γὰρ εἰς τοῦτο περιστήσεται τὰ

πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. [1] Νομοθέτας καθίστατε· [2] ἐν δὲ τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον μηδένα· εἰσὶ γὰρ ὑμῖν ἱκανοί· ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε· λέγω δὲ τοὺς [3] περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους· ὧν οἱ μέν, τὰ [4] στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά· οἱ δέ, [5] τοὺς ἀτακτοῦντας ἀθώους καθιστᾶσιν· εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους ἀθυμοτέρους ποιοῦσιν. Ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, τηνικαῦτα τὸν γράψοντα, ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖτε. Πρὶν δὲ ταῦτα πρᾶξαι μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε· ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι [6] τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι, ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. Καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους αὐτοὺς ἀξιοῦν, οἵπερ καὶ τεθείκασιν. Οὐ γάρ ἐστι δίκαιον, τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, [7] τοῖς τότε θεῖσιν ὑπάρχειν· τὴν δ' ἀπέχθειαν, δι' ἧς ἂν ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. Πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον, ὥστε εἰς προῦπτον κακὸν αὐτὸν ἐμβαλεῖν. Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψή-

φισμα οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ὑμᾶς· εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν, ἃ προσήκει, πράττειν, [1]ἢ περὶ ὧν γράφει διαπράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ, μᾶλλον δ' οὐδὲν, ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν, ἕνεκά γε ψηφισμάτων, ἐδεδώκει δίκην. Ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει· τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. Τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι, τὰ ῥηθέντα· καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. Τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε, ἃ δεῖ, πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν τὰ χωρία προείληφεν ἄνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα. [2]Οὐχ οὓς, εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα; οὐ βάρβαρος; οὐχ—ὅ τι ἂν εἴποι τις; Ἀλλὰ πρὸς θεῶν, [3]ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους, οἵ τινές εἰσι, τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ· οὐδὲ γὰρ, ἐν τοῖς τοῦ πολέμου κινδύνοις, τῶν φευγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ· ἀλλὰ καὶ τοῦ στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον. Ἥττηνται δ' ὅμως διὰ πάντας τοὺς φεύγοντας δήπου· μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων· εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν. Καὶ νῦν, οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς ἄλλος εἰπάτω· μὴ τοῦτον αἰτιάσθω. Ἕτερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε

[1] ἀγαθῇ τύχῃ. Ἀλλ' οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ, [2] πλὴν εἰ, δέον εὔξασθαι, παραλείπει· [3] εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον, εἰς ταὐτὸ πάνθ', ὅσα βούλεταί τις, ἀθροίσαντα ἐν ὀλίγῳ· ἑλέσθαι δὲ, ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφότερα ἐξῇ λαμβάνειν. Εἰ δέ τις ἡμῖν [4] ἔχει καὶ τὰ θεωρικὰ ἐᾷν, καὶ πόρους ἑτέρους λέγειν στρατιωτικοὺς, οὐχ οὗτος κρεῖττον; εἴποι τις ἄν. Φημ' ἔγωγε, εἴπερ ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι. Ἀλλὰ θαυμάζω [5] εἴ τῳ ποτὲ ἀνθρώπων, ἢ γέγονεν, ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. Ἀλλ', οἶμαι, μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις· διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. Ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται, καὶ δυνήσεσθε ἐξιέναι, καὶ μισθὸν ἕξετε. Οὔ τοι σωφρόνων, οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν· οὐδ' ἐπὶ μὲν Κορινθίους, καὶ Μεγαρέας, ἁρπάσαντας τὰ ὅπλα, πορεύεσθαι, Φίλιππον δ' ἐᾷν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις. Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τηνάλλως προῄρημαι λέγειν· οὐ γὰρ οὕτως ἄφρων, οὐδ' ἀτυχής τίς εἰμι ἐγὼ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων· ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν, ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι· καὶ γὰρ τοὺς [6] ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ

τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, [1]τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. Ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσομαι; [2]προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα· καὶ τοιαυτὶ συμβαίνει· καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ [3]τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν. Ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη [4]τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον· ὑπήκουε δὲ, ὁ ταύτην τὴν χώραν ἔχων, αὐτοῖς, βασιλεὺς, ὥσπερ ἐστι προσῆκον βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δὲ ἀνθρώπων κρείττω τὴν [5]ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. Ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ τοῖς ἰδίοις. *Δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν· οὐ γὰρ

[1] εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. Ἐκ δὲ τοῦ, τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν. Τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις, χρωμένοις οἷς εἶπον προστάταις· νυνὶ δὲ πῶς ὑμῖν [2] ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; [3] ἆρά γε ὁμοίως καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν. [4] Ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ὑμῖν ἀντιτάξασθαι, [5] ἐξὸν [δ'] ἡμῖν καὶ τὰ ἡμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας· πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον. Οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης, ἀπολωλέκασιν οὗτοι· ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν· ἢ φρασάτω τις ἐμοὶ παρελθὼν, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν, Φίλιππος. Ἀλλ', [6] ὦ 'τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. Καὶ τί ἂν εἰπεῖν τις ἔχοι;—[7] Τὰς ἐπάλξεις, ἃς κονιῶμεν; καὶ τὰς ὁδοὺς, ἃς ἐπισκευάζομεν; καὶ κρήνας; καὶ λήρους;—Ἀποβλέψατε δὴ πρὸς τοὺς τὰ τοιαῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι· ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας [8] εἰσὶ κατεσκευασμένοι· ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω [9] γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται. Τί δὴ τὸ πάντων αἴτιον τούτων; καὶ τί δήποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν

οὐκ ὀρθῶς; Ὅτι, τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, [1]δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, [2]καὶ ἀγαπητὸν ἦν, παρὰ τοῦ δήμου, τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαβεῖν· νῦν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται· ὑμεῖς δ' ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περιῃρημένοι χρήματα καὶ συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, [3]ἀγαπῶντες [4]ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοίδια πέμψωσιν οὗτοι· καὶ τὸ πάντων ἀνανδρότατον, [5]τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε· οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς, ἐπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασσεύουσι χειροήθεις αὐτοῖς ποιοῦντες. Ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας· [6]ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, [7]τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. Ταῦτα, μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη, [8]τῶν πεποιηκότων αὐτὰ γενέσθαι· οὐδὲ γὰρ παῤῥησία περὶ πάντων αἰεὶ παρ' ὑμῖν ἐστίν· ἀλλ' ἔγωγε, ὅτι καὶ νῦν γέγονε, θαυμάζω. Ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτι [9]ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις ἀφορμαῖς [10]ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἄν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθὸν καὶ [11]τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε· καὶ γὰρ οὔτ' ἰσχὺν ἐκεῖνα ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε τοσαῦτά ἐστιν ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ· ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥᾳθυμίαν ὑμῶν ἐπαυξάνοντα. [12]Οὐκ οὖν σὺ μισθοφορὰν

λέγεις; φήσει τις. [1]Καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι· ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. Ἔξεστιν ἄγειν ἡσυχίαν;—[2]οἴκοι μένων εἶ βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. Συμβαίνει τι τοιοῦτον, οἷον καὶ [3]τὰ νῦν;—στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον, ὑπὲρ τῆς πατρίδος. Ἔστι τίς ἔξω τῆς ἡλικίας ὑμῶν;—ὅσα οὗτος νῦν ἀτάκτως λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' [4]ἐν ἴσῃ τάξει λαμβανέτω, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. Ὅλως δὲ οὔτ' ἀφελὼν, οὔτε προσθεὶς, πλὴν μικρὸν, τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, [5]τὴν αὐτὴν, τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ τι καθ' ἡλικίαν ἕκαστος [6]ἔχοι, καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. Οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ποιοῦσιν ἐγὼ τὰ τῶν ποιησόντων εἶπον ὡς δεῖ νέμειν· [7]οὐδ' αὐτοὺς μὲν ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίνεται. Καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν· ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν καὶ μεγάλων κινδύνων κτησάμενοι κατέλιπον. Σχεδὸν εἴρηκα, ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθε ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

[1] ἘΚ ΤΟΥ

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΛΟΓΟΥ

ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

* * *

[2] Ὁ Σύμβουλος καὶ ὁ συκοφάντης, ἐν οὐδενὶ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μὲν γὰρ πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, [3] καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ, σιγήσας, ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει. [4] Ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς, τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως, καὶ τῶν δικαίων λόγων. [5] Ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν, πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. [6] Εἰ γάρ ἐσθ' ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθὲν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν· εἰ δὲ μήτ' ἐστὶ, μήτε ἦν, μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; [7] οὐ τῶν φαινομένων, καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; Τοῦτο τοίνυν ἐποίησα ἐγὼ, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, τίς ἀγορεύειν βούλεται; οὐ, τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων; οὐδὲ τίς ἐγγυᾶσθαι [8] τὰ μέλλοντ' ἔσεσθαι; Σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παρελθὼν ἔλεγον. Ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον,—εἰπέ· τίς ἢ [9] λόγος ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς

πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει μὲ ἀγαγεῖν [1] τουτουσί; Ἀλλὰ μὴν, τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον, ἢ τὸ παρὸν, τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. Τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, [2] μὴ τὰ συμβάντα συκοφάντει. Τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. Μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τὴν μάχην· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί. Ἀλλ' ὡς οὐχ ἅπαντα ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα, καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην, καὶ ἀναγκαῖα,—ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. Εἰ δ' [3] ὁ συμβὰς σκηπτὸς, [ἢ χειμὼν,] μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρος πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο,—ἀλλ' οὔτ' ἐκυβέρνων τὴν ναῦν, φησειεν ἄν· ὥσπερ οὐδ' ἐστρατήγουν ἐγὼ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων. Ἀλλ' ἐκεῖνο λογίζου, καὶ ὅρα, εἰ μετὰ τῶν Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους· ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς ὁδὸν τῆς μάχης γεγενημένης, τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που πλησίον τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη,-προσδο-

κῆσαι χρῆν; [1]ἆρ' οἴεσθε ἔτι νῦν ἂν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; [2]πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει· τότε δ'· ἀλλ' οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδ' ἐς πεῖραν ἔδωκε θεῶν τινος εὔνοια, καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταυτὴν τὴν συμμαχίαν, ἧς συ κατηγορεῖς. Ἔστι δὲ ταυτὶ πάντα μοι, [3]τὰ πολλὰ, πρὸς ὑμᾶς, ἄνδρες δικασταὶ, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτὸν, τὸν κατάπτυστον, βραχὺς, καὶ σαφὴς ἐξήρκει μοι λόγος. Εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει σε προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις· ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς, ἢ ἐγώ σου; τοσοῦτον γὰρ ἀμείνων ἐγώ σου πολίτης γέγονα εἰς αὐτὰ ταῦθ' ἃ λέγω,—καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι,—ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον, οὐδ' ὑπολογισάμενος· σὺ δὲ οὔτε ἕτερα εἶπες βελτίω τούτων,—οὐ γὰρ ἂν τούτοις ἐχρῶντο—οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σεαυτὸν παρέσχες. Ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος ποιήσειε τῇ πόλει, [4]τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ, καὶ Ἀριστόλεως ἐν Θάσῳ, [5]οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. Καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος, ἢ κατηγορεῖν ἑτέρου· [6]καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ, καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι· δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς, καὶ ποιεῖς, καὶ πολιτεύῃ, καὶ πάλιν οὐ πολιτεύῃ. Πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης. Ἀν-

τέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης. Ὥσπερ τὰ ῥήγματα, καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται. Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ὃ λέγω, θεωρησάτω. Εἰ γὰρ ἦν. ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγὼς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης, ἢ προγόνων, ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. [1]Νῦν μὲν γὰρ ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ. Τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. Εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτὶ, [2]περὶ ὧν οὐδένα κίνδυνον ὅντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, [3]τίς ἂν οὐχὶ κατέπτυσεν ἄν σου; μὴ γὰρ δὴ τῆς πόλεώς γε, μηδ' ἐμοῦ. Τίσι δ' ὀφθαλμοῖς, πρὸς Διὸς, ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, [4]εἰ τὰ μὲν πράγματα, εἰς ὅπερ νυνὶ, περιέστη; ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων, [5]τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι. Καὶ ταῦτα, μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης· τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων, [6]καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γεγενημένων Λακεδαιμονίων, καὶ παρ' αὐτοῦ τοῦ Περσῶν βασιλέως, [7]μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ, καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι. Ἀλλ' οὐκ ἦν ταῦθ', ὡς ἔοικε, τοῖς

[1]Ἀθηναίοις τοῖς τότε πάτρια, οὐδ' ἀνεκτὰ, οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην, ἀσφαλῶς δουλεύειν· [1]ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης καὶ κινδυνεύουσα, πάντα τὸν αἰῶνα διατετέλεκε. Καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε· εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι; τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον [2]Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. Οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα, οὔτε στρατηγὸν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας αὐτοῖς ἐξέσται τοῦτο ποιεῖν· ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. Διαφέρει δὲ τί; ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, [3]τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει· ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν, ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου. Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἄρα ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν, ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. Νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω· καὶ δείκνυμι, ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις· τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι.

Οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. [1]Εἰ γὰρ οὐχ, ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν, ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, [2]τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι· [5]οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν, οὐδὲ τοὺς κρατήσαντας μόνους. Δικαίως. Ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δὲ, ᾗ ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. * * *

FINIS EXCERPTORUM EX ORATORIBUS.

ANALECTA GRÆCA MAJORA.

TOMI PRIORIS

PARS TERTIA.

EXCERPTA PHILOSOPHICA.

I.

'E XENOPHONTE.

[1] ἘΚ ΤΩΝ

ΤΟΥ ΞΕΝΟΦΩΝΤΟΣ

ΠΕΡΙ

ΤΟΥ ΣΩΚΡΑΤΟΥΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ.

[Ad Edit. J. G. Schneider.]

SOCRATES—parens Philosophiæ jure dici potest.
Cicero de Finibus, II. 1.

ἘΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΠΡΩΤΟΥ.

ΚΕΦ. α'.

ΠΟΛΛΑΚΙΣ ἐθαύμασα, [2] τίσι ποτὲ λόγοις Ἀθηναίους [3] ἔπεισαν [4] οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει· ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ [5] τοιάδε τις ἦν. —[6] Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ, καὶ τοὺς νέους διαφθείρων.

[7] Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν, οὓς ἡ πόλις νομίζει θεοὺς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; [8] θύων τε γὰρ

φανερὸς ἦν, πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν· καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· διετεθρύλλητο γὰρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· [1]ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.

Ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι [2]μαντικὴν νομίζοντες, [3]οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις· οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας, [4]οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος οὕτως ἐνόμιζεν.

Ἀλλ' οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι. Σωκράτης δ', ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν, καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε, τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος· καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δ' μὴ πειθομένοις μετέμελε.

Καίτοι τίς οὐκ ἂν [5]ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ' ἠλίθιον μήτ' ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα, [6]εἶτα ψευδόμενος ἐφαίνετο· δῆλον οὖν, [7]ὅτι οὐκ ἂν προέλεγεν εἰ μὴ ἐπίστευεν ἀληθεύσειν· [8]ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν;

[9]Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους· τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων, ὅπως ἂν ἀποβήσοιτο, [10]μαντευομένους ἔπεμπεν, εἰ ποιητέα.

[1]Καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν μαντικῆς ἔφη προσδεῖσθαι· τεκτονικὸν μὲν γὰρ, ἢ χαλκευτικὸν, ἢ γεωργικὸν, ἢ ἀνθρώπων ἀρχικὸν, ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν, ἢ λογιστικὸν, ἢ οἰκονομικὸν, ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα, καὶ ἀνθρώπου γνώμῃ αἱρετὰ ἐνόμιζεν εἶναι.

[2]Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις, ἔφη, τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις· οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον, ὅστις καρπώσεται, οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει, οὔτε τῷ στρατηγικῷ δῆλον, εἰ συμφέρει στρατηγεῖν, οὔτε τῷ πολιτικῷ δῆλον, εἰ συμφέρει τῆς πόλεως προστατεῖν, οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται· οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον, εἰ διὰ τούτους [3]στερήσεται τῆς πόλεως.

Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, [4]δαιμονᾷν ἔφη· δαιμονᾷν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ [5]μαθοῦσι διακρίνειν· οἷον, εἴ τις [6]ἐπερωτῴη πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον, ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾷν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν, ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ [7]στήσαντας εἰδέναι, τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιστα ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοὶ, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστὶ, πειρᾶσθαι [8]διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γὰρ, οἷς ἂν ὦσιν [9]ἵλεῳ, σημαίνειν.

[1]Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ· πρωῒ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια [10]ᾔει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν

ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε μὲν [1]ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.

Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς, οὐδὲ ἀνόσιον, οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν· οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, [2]ἧπερ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο, σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ [3]τίσιν ἀνάγκαις ἕκαστα γίνεται τῶν οὐρανίων· ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυεν.

[4]Καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τ' ἀνθρώπινα εἰδέναι, [5]ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν.

Ἐθαύμαζε δὲ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· [7]ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν, οὐ ταυτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους.

Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ' ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾷν, τοὺς δὲ καὶ λίθους [8]καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ' ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δ' οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δ' οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτ' ἀπολέσθαι.

Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ᾽ ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες, ἡγοῦνται τοῦθ᾽, ὅ τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων, ὅτῳ ἂν βούλωνται, ποιήσειν· οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες, νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους, καὶ ὕδατα, καὶ ὥρας, καὶ ὅτου ἂν ἄλλου δέωνται τῶν τοιούτων· ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ᾽ ἐλπίζουσιν, ἀρκεῖ δ᾽ αὐτοῖς γνῶναι μόνον, [1]ᾗ τῶν τοιούτων ἕκαστα γίνεται. Περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν.

[2]Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβὲς, τί ἀσεβές· τί καλὸν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρεία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.

Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν, ὑπὲρ τούτων περὶ αὐτοῦ [3]παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ᾔδεσαν, θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν.

[4]Βουλεύσας γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν, κατὰ τοὺς νόμους βουλεύσειν, Ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ, [5][τοὺς ἀμφὶ Θράσυλλον καὶ Ἐρασινίδην,] ἀποκτεῖναι πάντας, [6]οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ [7]περὶ μὲν πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, [8]καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.

Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ

[1]ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται, τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι. Σωκράτης δ' ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα, καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

Θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέν ποτε [περὶ τοὺς θεοὺς] οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων, εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

ΚΕΦ. β'.

Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς, πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων, καὶ γαστρὸς, πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος, καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, [2]ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα.

Πῶς οὖν αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους, ἢ ἀφροδισίων ἀκρατεῖς, ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; [3]ἀλλ' ἔπαυσε μὴν τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχὼν, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι.

Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου, [4]ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον, τοιούσδε γενήσεσθαι. * * *

—Πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους, εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν;

Ἀλλὰ νὴ Δία, ὁ κατήγορος ἔφη, [1]ὑπερορᾷν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόντας, λέγων ὡς μωρὸν εἴη, [2]τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ᾽ αὐλητῇ, μηδ᾽ ἐπ᾽ ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων· τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν [3]τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους.

Ἐγὼ δ᾽ οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, [4]εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας ταῦτα γίγνεται. * * *

Ἀλλ᾽, ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο· Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος, καὶ ὑβριστότατος, [καὶ βιαιότατος.]

Ἐγὼ δ᾽, εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐτοῖς, ὡς ἐγένετο, διηγήσομαι.

Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι᾽ ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι· [5]ᾔδεσαν δέ, [6]Σωκράτην ἀπ᾽ ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα,

τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις, ὅπως βούλοιτο.

Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἵω προειρήσθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε, καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, [1]ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ· ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν;

Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν, ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνάναι, [2]ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. Δήλω δ' ἐγενέσθην ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγινομένων ἡγησάσθην εἶναι, [3]εὐθὺς ἀποπηδήσαντε Σωκράτους, ἐπραττέτην τὰ πολιτικά, ὧνπερ ἕνεκα [4]Σωκράτους ὠρεχθήτην. * * *

Καὶ Κριτίας δή, καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει [5]συνήστην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· [6]ἐκείνου δ' ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν, ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ, διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει, καὶ τοῖς συμμάχοις, [7]ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὐτοῦ.

Τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστόν, εἰ ὑπερηφάνω ἐγενέσθην;

Εἶτα, εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται· ὅτι δὲ νέω ὄντε αὐτὼ, ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι, Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι; [1] οὐ μὴν τάγε ἄλλα οὕτω κρίνεται.

Τίς μὲν γὰρ αὐλητὴς, τίς δὲ καὶ κιθαριστὴς, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητὰς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς δὲ πατὴρ, ἐὰν ὁ παῖς αὐτοῦ [2] συνδιατρίβων τῳ, σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος, πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται, ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; [3] ἀλλ' οἵγε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν.

Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δ' αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι; * * *

—Κρίτων τε Σωκράτους ἦν ὁμιλητὴς, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαιδώνδης, καὶ ἄλλοι, οἱ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ, καὶ οἰκέταις, καὶ οἰκείοις, καὶ φίλοις, καὶ πόλει, καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι· καὶ τούτων οὐδεὶς, οὔτε νεώτερος οὔτε πρεσβύτερος ὢν, οὔτ' ἐποίησε κακὸν οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν.

Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας [4] προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας αὐτῷ, σοφωτέρους ποιεῖν τῶν πατέρων. * * *

—Ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς

κάμνοντας, οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροὶ, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.

Ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· [1]μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους· ἀναπείθοντα οὖν τοὺς νέους αὐτὸν, ὡς αὐτὸς εἴη σοφώτατός τε, καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατιθέναι τοὺς αὐτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι [2]πρὸς ἑαυτόν. * * *

Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι, καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος·

τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύει μηδενὸς ἔργου, μήτε ἀδίκου, μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.

Σωκράτης δ' ἐπειδὴ ὁμολογήσαιτο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε, ἔφη, καὶ ἐργάτας εἶναι· τοὺς δὲ κυβεύοντας, ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει· ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ,

[3]Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος.

Τὸ δὲ Ὁμήρου, ἔφη ὁ κατήγορος, πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεύς,

[1]Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὥς, δειδίσσεσθαι·
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
Οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς [2]ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας.

Σωκράτης δ' οὐ ταῦτ' ἔλεγεν, καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι, ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας, καὶ μήτε στρατεύματι, μήτε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανούς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι [3]τυγχάνωσιν ὄντες. * * *

Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὤν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον, ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις, τοῦθ' εὕροι. Κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θανατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

[4]Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμϐάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο· οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέϐαλεν· [5]ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε.

[1]Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ, ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεοὺς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, [2]φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ γραψάμενος αὐτὸν ἠτιᾶτο, φανερὸς ἦν, τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, [3]τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ἡ πόλεις τε καὶ οἴκους εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν; ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

ΚΕΦ. γʹ.

* * *

[4]Καὶ εὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, [5]ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα τἀγαθά ἐστι· τοὺς δὲ εὐχομένους χρυσίον, ἢ ἀργύριον, ἢ τυραννίδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν, ἢ μάχην, ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων, ὅπως ἀποβήσοιτο.

Θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν, οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων [6]πολλὰ καὶ μεγάλα θυόντων. Οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον, ἢ ταῖς μικραῖς ἔχαιρον·—πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον, ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα,—οὔτ' αὖ τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα τοῖς θεοῖς, ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαίρειν· ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου,— . . . .

[1]Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι·

καὶ πρὸς φίλους δὲ, καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην δίαιταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν καδδύναμιν ἔρδειν. * * *

Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, [2]καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης· οὕτω γὰρ εὐτελὴς ἦν, [3]ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα· σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε· καὶ ἐπὶ τούτῳ οὕτως παρεσκευασμένος [4]ᾔει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι· ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.

Εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο· τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας, καὶ κεφαλὰς, καὶ ψυχὰς, ταῦτ' ἔφη εἶναι.

Οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν· [5]τὸν δὲ Ὀδυσσέα, Ἑρμοῦ τε ὑποθημοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, [6]καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. Τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. * * *

ΚΕΦ. δ'.

* * *

Λέξω δὲ πρῶτον, ἅ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν Μικρὸν ἐπικαλούμενον· καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα· εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, [2] ἔστιν οὕς τινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; ἔγωγ᾽, ἔφη.

Καὶ ὅς, λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ [3] διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ ἀνδριαντοποιίᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν.

Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα, ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῶα ἔμφρονά τε καὶ ἐνεργά; πολὺ, νὴ Δία, οἱ ζῶα, εἴπερ γε μὴ τύχῃ τινὶ, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γεγένηται· [4] τῶν δὲ ἀτεκμάρτως ἐχόντων, ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ᾽ ὠφελείᾳ ὄντων, πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; πρέπει μὲν τὰ ἐπ᾽ ὠφελείᾳ γιγνόμενα γνώμης εἶναι ἔργα.

[5] Οὐκ οὖν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους, ἐπ᾽ ὠφελείᾳ προσθεῖναι αὐτοῖς, δι᾽ ὧν αἰσθάνονται, ἕκαστα, ὀφθαλμοὺς μὲν, ὥσθ᾽ ὁρᾷν τὰ ὁρατὰ, ὦτα δὲ, ὥστ᾽ ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μὴν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ᾽ ἂν αἴσθησις ἦν γλυκέων,

καὶ δριμέων, καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;

Πρὸς δὲ τούτοις, [1]οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργῳ ἐοικέναι, τὸ, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται; ὡς δ᾽ ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ᾽ ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ· τὸ δὲ, τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνὰς, ἐμπίπλασθαι δὲ μήποτε· [2]καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζώοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους, οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μὲν, δι᾽ οὗ, ὧν ἐπιθυμεῖ τὰ ζῶα, εἰσπέμπεται, πλήσιον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι· [3]ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς, καὶ ἀπενεγκεῖν, [4]ᾗ δυνατὸν προσωτάτω, ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα, ἀπορεῖς, πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν;

Οὐ, μὰ τὸν Δί᾽, ἔφη, ἀλλ᾽ οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινὸς δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. [5]Τὸ δὲ, ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιΐας, ἐμφῦσαι δὲ ταῖς γειναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου;—[6]Ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί τινος ζῶα εἶναι βουλευσαμένου. * * *

[7]Μὰ Δί᾽, ἔφη, οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γινομένων τοὺς δημιουργούς· [8]οὐδὲ γὰρ τὴν ἑαυτοῦ σύ γε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε, κατά γε τοῦτο, ἔξεστί σοι λέγειν, ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.

Καὶ ὁ Ἀριστόδημος, Οὔτοι, ἔφη, ἐγὼ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ᾽ ἐκεῖνο μεγαλοπρεπέστερον

ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι· [1]οὐκ οὖν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό.

Εὖ ἴσθι, ἔφη, ὅτι εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν [2]ἀμελοίην αὐτῶν.—Ἔπειτ' οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾷν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν· καὶ ὄψιν, καὶ ἀκοὴν, καὶ στόμα ἐνεποίησαν; ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν· ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν, ἐξεργάζονται;

Καὶ μὴν γλῶττάν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν [3]οἵαν, ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις, ἃ βουλόμεθα; * * *

Οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε· τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν θεῶν, τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων, ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο, ἢ ἄνθρωποι, θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι, ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ (τὰ) πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ ἴδῃ, ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;

Οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῶα, ὥσπερ θεοὶ, ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ' ἂν πράττειν, ἃ ἐβούλετο· οὔθ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστὶ, πλέον οὐδὲν ἔχει.

Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; * * *

[1] Ὦ 'γαθὲ, ἔφη, κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν, τὸ σὸν σῶμα, ὅπως βούλεται, μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾷν· μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε, καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι. * * *

—Γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, [2] καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

[3] Ἐμοὶ μὲν οὖν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν· ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

* * *

κάμνοντας, οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροὶ, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.

Ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· [1] μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους· ἀναπείθοντα οὖν τοὺς νέους αὐτὸν, ὡς αὐτὸς εἴη σοφώτατός τε, καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατιθέναι τοὺς αὐτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι [2] πρὸς ἑαυτόν.

Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι, καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος·

τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύει μηδενὸς ἔργου, μήτε ἀδίκου, μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.

Σωκράτης δ' ἐπειδὴ ὁμολογήσαιτο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε, ἔφη, καὶ ἐργάτας εἶναι· τοὺς δὲ κυβεύοντας, ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει· ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ,

[3] Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος.

Τὸ δὲ Ὁμήρου, ἔφη ὁ κατήγορος, πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεὺς,

[1]Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὥς, δειδίσσεσθαι·
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
Οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς [2]ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας.

Σωκράτης δ' οὐ ταῦτ' ἔλεγεν, καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι, ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας, καὶ μήτε στρατεύματι, μήτε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανούς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι [3]τυγχάνωσιν ὄντες. * * *

Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὤν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον, ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις, τοῦθ' εὕροι. Κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

[4]Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο· οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· [5]ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε.

[1]Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ, ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, [2]φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ γραψάμενος αὐτὸν ἠτιᾶτο, φανερὸς ἦν, τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, [3]τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἴκους εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν; ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

ΚΕΦ. γ'.

* * *

[4]Καὶ εὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, [5]ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα τἀγαθά ἐστι· τοὺς δὲ εὐχομένους χρυσίον, ἢ ἀργύριον, ἢ τυραννίδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν, ἢ μάχην, ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων, ὅπως ἀποβήσοιτο.

Θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν, οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων [6]πολλὰ καὶ μεγάλα θυόντων. Οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον, ἢ ταῖς μικραῖς ἔχαιρον·—πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον, ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα,—οὔτ' αὖ τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα τοῖς θεοῖς, ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαίρειν· ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου,—

[1]Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι·

καὶ πρὸς φίλους δὲ, καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην δίαιταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν καδδύναμιν ἔρδειν. * * *

Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, [2]καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης· οὕτω γὰρ εὐτελὴς ἦν, [3]ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα· σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε· καὶ ἐπὶ τούτῳ οὕτως παρεσκευασμένος [4]ᾔει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι· ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.

Εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥαδίως πάνυ ἐφυλάττετο· τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας, καὶ κεφαλὰς, καὶ ψυχὰς, ταῦτ' ἔφη εἶναι.

Οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν· [5]τὸν δὲ Ὀδυσσέα, Ἑρμοῦ τε ὑποθημοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, [6]καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. Τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. * * *

ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι· [1] οὐκ οὖν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό.

Εὖ ἴσθι, ἔφη, ὅτι εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν [2] ἀμελοίην αὐτῶν.—Ἔπειτ᾽ οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾷν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν· καὶ ὄψιν, καὶ ἀκοὴν, καὶ στόμα ἐνεποίησαν; ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν· ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν, ἐξεργάζονται;

Καὶ μὴν γλῶττάν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν [3] οἵαν, ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις, ἃ βουλόμεθα; * * *

Οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ᾽, ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε· τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν θεῶν, τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων, ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο, ἢ ἄνθρωποι, θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι, ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ (τὰ) πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ ἴδῃ, ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;

Οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῷα, ὥσπερ θεοὶ, ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ᾽ ἂν πράττειν, ἃ ἐβούλετο. οὔθ᾽ ὅσα χεῖρας ἔχει, ἄφρονα δ᾽ ἐστὶ, πλέον οὐδὲν ἔχει,

Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; * * *

[1] Ὦ 'γαθὲ, ἔφη, κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν, τὸ σὸν σῶμα, ὅπως βούλεται, μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾷν· μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε, καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι. * * *

—Γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, [2] καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

[3] Ἐμοὶ μὲν οὖν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν· ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

* * *

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΔΕΥΤΕΡΟΥ.

ΚΕΦ α'.

* * *

—Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, [1]ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο,—ἐν ᾗ οἱ νέοι, ἤδη αὐτοκράτορες γιγνόμενοι, δηλοῦσιν [2]εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας,—[3]ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, [4]ἀποροῦντα, ὁποτέραν τῶν ὁδῶν τράπηται.

[5]Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην [6]τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν [7]τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, [8]κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, [9]τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, [10]τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτὴν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται· πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι [11]τὸν αὐτὸν τρόπον· τὴν δὲ ἑτέ-

ραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ· ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃς, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥάστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ.

Πρῶτον μὲν γὰρ οὐ πολέμων, οὐδὲ πραγμάτων [1]φροντιεῖς, ἀλλὰ σκοπούμενος [2]διάξεις, τί ἂν κεχαρισμένον, ἢ σιτίον, ἢ ποτὸν εὕροις· ἢ τί ἂν ἰδὼν, ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος, ἢ ἁπτόμενος ἡσθείης· τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις.

Ἐὰν δέ ποτε γένηταί [3]τις ὑποψία σπάνεως, ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ, πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ, ταῦτα πορίζεσθαι· [4]ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, [5]οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. Πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω.

Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; Ἡ δὲ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν· οἱ δὲ μισοῦντες, [6]ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν.

Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπεν· καὶ ἐγὼ ἥκω πρός σε, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν, καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι· οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδο-

κῆς, ἀλλ' ἧπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας.

Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος, Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.

Καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι· πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς, ἡδέως, οὐ μόνον τὰς στρώμνας

μαλακὰς, ἀλλὰ καὶ [τὰς κλίνας καὶ] [1]τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. Τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη. Οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμάζουσα.

Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος,* ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι [2]πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν [3]τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ, νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν, οὔτε θεῖον οὔτε ἀνθρώπινον, χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις, οἷς προσήκει·† ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυ-

μήσωσιν αὐτῶν. Ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων, ἢ τοῖς ἀμόχθοις· καὶ οὔτε ἀπολειπόντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον [1] μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δ' ἔλθῃ [2] τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης [3] τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι.—Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.—Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν.

* * *

ΚΕΦ. δ'.

Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν. [4] Τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως.

Καὶ γὰρ οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα,* καὶ σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους· φίλον δὲ ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς, οὔτε ὅπως κτήσωνται φροντίζοντας, οὔτε ὅπως οἱ ὄντες, ἑαυτοῖς σώζωνται.

Ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾶν τινας

ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας, καὶ τἄλλα πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας· ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους τε καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι· καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον, οὐδ' ἀνεπίσκεπτον, τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας.

Ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων, καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, [1] τὸ πλῆθος εἰδότας· τῶν δὲ φίλων, ὀλίγων ὄντων, οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, [2] πάλιν τούτους ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν.

Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς, οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος, ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον;

Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ, καὶ τῆς τῶν ἰδίων κατασκευῆς, καὶ τῶν κοινῶν πράξεων· καὶ ἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει· ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, [3] τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων. Καὶ τὰ μὲν, συμπείθων, τὰ δὲ, βιαζόμενος, καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, [4] σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν.

Ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ οἱ ὀφθαλμοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύτουσι, [5] τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται. Πολλάκις δὲ, ἃ πρὸ αὐτοῦ τις ἢ [6] οὐκ ἐξειργάσατο, ἢ οὐκ εἶδεν, ἢ οὐκ ἤκουσεν, ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸ τοῦ

φίλου ἐξήρκεσεν. Ἀλλ' ὅμως ἔνιοι μὲν δένδρα πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν· τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

* * *

ΚΕΦ. ϛ'.

[1] Ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους, ὁποίους ἄξιον κτᾶσθαι, φρενοῦν, τοιάδε λέγων. Εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, [2] πῶς ἂν ἐπιχειροίημεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, [3] ὅστις ἄρχει γαστρός τε, καὶ φιλοποσίας, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος, οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἂν, οὔτε φίλῳ, τὰ δέοντα πράττειν. Μὰ Δί' οὐ δῆτα, ἔφη. [4] Οὐκ οὖν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; Πάνυ μὲν οὖν, ἔφη.

[5] Τί γάρ; ἔφη, ὅστις δαπανηρὸς ὢν, μὴ αὐτάρκης ἐστὶν, ἀλλ' ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν, μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ, τὸν μὴ διδόντα μισεῖ· οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; Πάνυ, ἔφη. Οὐκ οὖν ἀφεκτέον καὶ τούτου; Ἀφεκτέον μέντοι, ἔφη.

Τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβολός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι. [6] Τί δέ; ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; [7] Ἀφεκτέον

καὶ παύσαιτο, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ.

Τί δέ; ὅστις στασιώδης τέ ἐστι, καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν; Φευκτέον, νὴ Δία, καὶ τοῦτον. Εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχοι, [1]εὖ δὲ πάσχων ἀνέχοιτο, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν; [2]Ἀνωφελὴς ἂν εἴη καὶ οὗτος· ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν [3]φίλον ποιεῖσθαι.

Οἶμαι μὲν, ὃς τἀναντία τούτων, ἐγκρατὴς μέν ἐστι τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος δὲ, καὶ εὐξύμβολος [4]ὢν τυγχάνει, καὶ [5]φιλόνεικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας ἑαυτὸν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.

Πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ Σώκρατες, πρὸ τοῦ χρῆσθαι; Τοὺς μὲν ἀνδριαντοποιοὺς, ἔφη, δοκιμάζομεν, οὐ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.

Καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ [6]τοὺς ὑστέρους εὐεργετήσοντα. Καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρήσεσθαι. * * *

—Ὅταν—, ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις με [7]κατειπεῖν σου πρὸς αὐτὸν, ὅτι ἄγασαί τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; κατηγόρει, ἔφη ὁ Κριτόβουλος· οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας.

[8]Ἐὰν δέ σου προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ [9]ἄγασθαι αὐτοῦ, καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτὸν, [10]ἆρα μὴ

διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; ἀλλὰ καὶ αὐτῷ μοι, ἔφη, ἐγγίγνεται εὔνοια, πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ.

Ταῦτα μὲν δὴ, ἔφη ὁ Σωκράτης, ἔξεσταί μοι λέγειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι· ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ οὐχ ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτοῦ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φίλων χαίρεις οὐδὲν ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτοῦ· ὅπως τε ταῦτα γίγνηται τοῖς φίλοις, [1]οὐκ ἀποκάμνεις μηχανώμενος· καὶ ὅτι ἔγνωκας ἀνδρὸς ἀρετὴν εἶναι, νικᾷν τοὺς μὲν φίλους εὖ ποιοῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς· πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναί με [2]σύνθηρον τῶν ἀγαθῶν φίλων.

Τί οὖν, ἔφη ὁ Κριτόβουλος, ἐμοὶ τοῦτο λέγεις, [3]ὥσπερ οὐκ ἐπὶ σοὶ ὄν, ὅ τι ἂν βούλῃ, περὶ ἐμοῦ λέγειν; Μὰ Δί', οὐχ, ὥς ποτε ἐγὼ [4]Ἀσπασίας ἤκουσα· ἔφη γὰρ [5]τὰς ἀγαθὰς προμνηστρίας, μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δεινὰς εἶναι συνάγειν τοὺς ἀνθρώπους εἰς κηδείαν, ψευδομένας δ' οὐκ ὠφελεῖν ἐπαινούσας· τοὺς γὰρ ἐξαπατηθέντας, ἅμα μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην· ἃ δὴ καὶ ἐγὼ πεισθεὶς [6]ὀρθῶς ἔχειν, ἡγοῦμαι οὐκ ἐξεῖναί μοι περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδὲν, ὅ τι ἂν μὴ ἀληθεύω.

Σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι φίλος εἶ, ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐτὸς ἔχω ἐπιτήδειον εἰς τὸ φίλους κτήσασθαι, συλλαμβάνειν μοι· εἰ δὲ μὴ, οὐκ ἂν ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. Πότερα δ' ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, δοκῶ σοι μᾶλλον ὠφελεῖν, σε, τὰ ψευδῆ ἐπαινῶν ἢ πείθων πειρᾶ-

σθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι;—[1] εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι.—

Εἰ γάρ σε βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ, ψευδόμενος [2] ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην· ὁ δέ μοι πεισθεὶς [3] ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν, ἔχεις τινὰ ἐλπίδα, μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; [4] ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν ψευδόμενος, ὡς ὄντι στρατηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπιτρέψαι· τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ παθεῖν; ἢ εἴ τινας [5] ἰδίᾳ τῶν πολιτῶν πείσαιμι ψευδόμενος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ, τὰ ἑαυτῶν ἐπιτρέψαι· ἆρ' οὐκ ἂν πεῖραν διδοὺς, ἅμα τε βλαβερὸς εἴης, καὶ καταγέλαστος φαίνοιο;

Ἀλλὰ συντομωτάτη τε, καὶ ἀσφαλεστάτη, καὶ καλλίστη ὁδὸς, ὦ Κριτόβουλε, ὅ τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι, τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι. * * *

ΚΕΦ ζ'.

* * *

—[6] Φασὶν,— ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν, ταῖς καὶ ἔριά σοι, καὶ ἄρνας, καὶ τύρον παρεχούσαις οὐδὲν δίδως [7] ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν· [8] τῷ δὲ κυνὶ, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου.

Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· [9] Ναὶ μὰ Δία· ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι

δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι. * * *

ἘΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΡΙΤΟΥ.

ΚΕΦ. α'.

* * *

—Ὥσπερ ὁ κιθαρίζειν μαθὼν, κἂν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι· καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν· [1] οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὢν, κἂν μηδεὶς αὐτὸν ἕληται· ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρατηγὸς, οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ. * * *

—Παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικὸν, καὶ ἐργαστικὸν, καὶ ἐπιμελῆ, καὶ καρτερικὸν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμὸν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικὸν καὶ ἅρπαγα, καὶ φιλόδωρον καὶ πλεονέκτην, καὶ ἀσφαλῆ καὶ ἐπιθετικὸν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. Καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι.

Πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου· ὥσπερ λίθοι τε, καὶ πλίνθοι, καὶ ξύλα, καὶ κέραμος, ἀτάκτως μὲν ἐῤῥιμμένα, οὐδὲν χρήσιμά ἐστιν· ἐπειδὰν δὲ ταχθῇ κάτω μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα, μήτε τηκόμενα, οἵ τε λίθοι, καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι, καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθενται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα, οἰκία. * * *

[1] ΚΕΦ. ί.

Ἀλλὰ μὴν καὶ εἴ ποτε τῶν τὰς τέχνας ἐχόντων, καὶ ἐργασίας ἕνεκα χρωμένων αὐταῖς, διαλέγοιτό τισι, καὶ τούτοις ὠφέλιμος ἦν. Εἰσελθὼν μὲν γάρ ποτε πρὸς Παῤῥάσιον τὸν ζωγράφον, καὶ διαλεγόμενος αὐτῷ, Ἆρα, ἔφη, ὦ Παῤῥάσιε, ἡ γραφική ἐστιν εἰκασία τῶν ὁρωμένων; [2] τὰ γοῦν κοῖλα καὶ τὰ ὑψηλὰ, καὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινὰ, καὶ τὰ σκληρὰ καὶ τὰ μαλακὰ, καὶ τὰ τραχία καὶ τὰ λεῖα, καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. Ἀληθῆ λέγεις, ἔφη.

Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι; [3] Ποιοῦμεν γὰρ, ἔφη, οὕτως.

[4] Τί γάρ; ἔφη, τὸ πιθανώτατόν τε, καὶ ἥδιστον, καὶ φιλικώτατον, καὶ ποθεινότατον, καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; [5] Πῶς γὰρ ἂν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν;

Ἆρ' οὐκ, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ [6] πώποτε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκ οὖν τό γε μιμητὸν ἐν τοῖς ὄμμασιν; Καὶ μάλα, ἔφη. Ἐπὶ δ' τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα, οἵ τε φροντίζοντες, καὶ οἱ μή; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροὶ, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. Οὐκ οὖν, ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; Καὶ μάλα, ἔφη.

Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον, καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον, καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειρόκαλον, καὶ διὰ τοῦ προσώπου καὶ [1]διὰ τῶν σχημάτων, καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. Ἀληθῆ λέγεις, ἔφη. Οὐκ οὖν καὶ ταῦτα μιμητά; Καὶ μάλα, ἔφη. Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾷν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν τὰ αἰσχρά τε, καὶ πονηρὰ, καὶ μισητά; Πολὺ νὴ Δί', ἔφη, διαφέρει, ὦ Σώκρατες.

Πρὸς δὲ Κλείτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε, καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μὲν, ἔφη, ὦ Κλείτων, ἀλλοίους ποιεῖς δρομεῖς τε καὶ παλαιστὰς, καὶ πύκτας, καὶ παγκρατιαστὰς, ὁρῶ τε καὶ οἶδα· ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριάσιν;

[2]Ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων οὐ ταχὺ ἀπεκρίνατο. [3]Ἆρ', ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον, ζωτικωτέρους ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα, ἔφη. [4]Οὐκ οὖν τά τε ὑπὸ τῶν σχημάτων κατασπώμενα καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα, καὶ τὰ διελκόμενα, καὶ τὰ ἐντεινόμενα, καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; Πάνυ μὲν οὖν, ἔφη.

[5]Τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; Εἰκός γ' οὖν, ἔφη. Οὐκ οὖν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένη ἡ ὄψις μιμητέα. Σφόδρα γε, ἔφη. Δεῖ ἄρα, ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

Πρὸς δὲ Πιστίαν [1]τὸν θωρακοποιὸν εἰσελθὼν, ἐπιδείξαντος αὐτοῦ τῷ Σωκράτει θώρακας εὖ εἰργασμένους, Νὴ τὴν Ἥραν, ἔφη, καλόν γε, ὦ Πιστία, τὸ εὕρημα, τὸ τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι.

Ἀτὰρ, ἔφη, λέξον μοι, ὦ Πιστία, διὰ τί οὔτε ἰσχυροτέρους [2]οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν τοὺς θώρακας, πλείονος πωλεῖς; Ὅτι, ἔφη, ὦ Σώκρατες, [3]εὐρυθμοτέρους ποιῶ. [4]Τὸν ῥυθμὸν δ', ἔφη, πότερα μέτρῳ ἢ σταθμῷ ἐπιδεικνύων, πλείονος τιμᾷς; οὐ γὰρ δὴ ἴσους γε πάντας, οὐδὲ ὁμοίους οἶμαί σε ποιεῖν, εἴγε ἁρμόττοντας ποιεῖς. [5]Ἀλλὰ νὴ Δί', ἔφη, ποιῶ· οὐδὲν γὰρ ὄφελός ἐστι θώρακος ἄνευ τούτου.

Οὐκ οὖν, ἔφη, σώματά γε ἀνθρώπων, τὰ μὲν εὔρυθμά ἐστι, τὰ δὲ ἄῤῥυθμα. Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἔφη, τῷ ἀῤῥύθμῳ σώματι ἁρμόττοντα τὸν θώρακα εὔρυθμον ποιεῖς; Ὥσπερ καὶ ἁρμόττοντα, ἔφη· ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος.

Δοκεῖς μοι, ἔφη ὁ Σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον· ὥσπερ ἂν εἰ φαίης ἀσπίδα, ᾧ ἐὰν ἁρμόττῃ, τούτῳ εὔρυθμον εἶναι· καὶ χλαμύδα, καὶ τἄλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ. —ἴσως δὲ καὶ ἄλλο τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν πρόσεστι. Δίδαξον, ἔφη, ὦ Σώκρατες, εἴ τι ἔχεις.

[7]Ἧττον, ἔφη, τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν ἀναρμόστων, τὸν αὐτὸν σταθμὸν ἔχοντες· οἱ μὲν γὰρ ἀνάρμοστοι, ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι, ἢ καὶ ἄλλο τι σώματος σφόδρα πιέζοντες, δύσφοροι καὶ χαλεποὶ γίγνονται· [6]οἱ δὲ ἁρμόττοντες, διειλημμένοι τὸ βάρος, τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ δὲ ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ ὑπὸ τοῦ νώτου, τὸ

δὲ ὑπὸ τῆς γαστρὸς, [1]ὀλίγου δεῖν οὐ φορήματι, ἀλλὰ προσθήματι ἐοίκασιν.

Εἴρηκας, ἔφη, αὐτὸ, δι' ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα πλείστου ἄξια νομίζω εἶναι· ἔνιοι μέν τοι τοὺς ποικίλους καὶ τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. Ἀλλὰ μὴν, ἔφη, εἴγε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακὸν ἔμοιγε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι.

Ἀτὰρ, ἔφη, τοῦ σώματος μὴ μένοντος, ἀλλὰ τοτὲ μὲν κυρτουμένου, τοτὲ δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς θώρακες ἁρμόττοιεν; Οὐδαμῶς, ἔφη. Λέγεις, ἔφη, ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ. Αὐτὸς, ἔφη, τοῦτο λέγω, ὦ Σώκρατες, [2]καὶ τὰ νῦν ὀρθῶς ἀποδέχῃ.

ἘΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕΤΑΡΤΟΥ.

* * *

ΚΕΦ. γ'.

* * *

Πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας· [3]ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· [4]ἐγὼ δὲ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρεγενόμην.

Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ, ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασι; Καὶ ὅς, μὰ τὸν Δί', ἔφη, [5]οὐκ

ἔμοιγε. [1] Ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; Νὴ Δί', ἔφη· ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι [2] κάλλιστον ἀναπαυτήριον. Πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον.

Οὐκ οὖν καὶ [3] ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καί τ' ἄλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ, διὰ τὸ σκοτεινὴ εἶναι, ἀσαφεστέρα ἐστίν· ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ τοῦτο πολλὰ, ὧν δεόμεθα, πράττομεν. Ἔστι ταῦτα, ἔφη. Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. Πάνυ μὲν οὖν, ἔφη.

[4] Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον, ὧν δεόμεθα, πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα.

Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ [5] φυτεύειν τε καὶ συναύξειν τῇ γῇ, καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε, καὶ ὠφελιμώτερα, καὶ ἡδίω ποιεῖν αὐτά· [6] καὶ ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; Καὶ τοῦτο, ἔφη, προνοητικόν.

Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην, καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται; [7] ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον

ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται. Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ.

Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσϊέναι τὰ μὲν ἁδρύνοντα, τὰ δὲ ξηραίνοντα, [1]ὧν καιρὸς διελήλυθεν· καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω προσϊέναι, ἀλλ' ἀποτρέπεσθαι, φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ· καὶ ὅταν αὖ πάλιν ἀπιὼν γένηται, ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅτι, εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι, καὶ προσχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι, [2]ἔνθα ἂν μάλιστα ἡμᾶς ὠφελοίη; Νὴ τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα [3]γιγνομένοις.

Τὸ δ' αὖ, ἐπειδὰν καὶ τοῦτο φανερὸν, ὅτι οὐκ ἂν ὑπενέγκοιμεν οὔτε τὸ καῦμα, οὔτε τὸ ψύχος, εἰ ἐξαπίνης γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσϊέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπϊέναι, [4]ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους; Ἐγὼ μὲν, ἔφη ὁ Εὐθύδημος, ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα [5]τί ἐστι τοῖς θεοῖς ἔργον, ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέχει.

[6]Οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φανερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε, καὶ οἰῶν, καὶ ἵππων, καὶ βοῶν, καὶ ὄνων, καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; [7]ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω ἢ τῶν φυτῶν. [8]τρέφονται γοῦν, καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων, ἢ ἀπ' ἐκείνων. πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ

τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι, καὶ τυρῷ, καὶ κρέασι τρεφόμενοι ζῶσιν. πάντες δὲ τιθασεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. Ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη· ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς, ὅ τι ἂν βούλωνται.

[1]Τὸ δ', ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστι, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν· τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ, περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν, ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα· τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλους διδάσκοντες καὶ κοινωνοῦμεν, [2]καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; Παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι.

[3]Τὸ δὲ καί, εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας, [4]ᾗ ἂν ἄριστα γίγνοιντο. [5]Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπό σου προσημαίνουσί σοι, ἅ τε χρὴ ποιεῖν, καὶ ἃ μή.

Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ γνώσῃ, ὦ Εὐθύδημε, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι, σέβεσθαι καὶ τιμᾶν

τοὺς θεούς· ἐννοεῖ δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ [1]οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασιν, καὶ Ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε, καὶ [2]ὑγιᾶ, καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, [3]τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.

Ἐννοεῖ δὲ ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾷν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται· καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ, πάντων κρατεῖ· ὁρᾶται δ' οὔτ' ἐπιὼν, οὔτε κατασκήψας, οὔτε ἀπιών· καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσϊόντων αὐτῶν αἰσθανόμεθα. Ἀλλὰ μὴν, καὶ ἀνθρώπου γε ψυχὴ, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τοῦ θείου μετέχει· ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν φανερόν· ὁρᾶται δὲ οὐδ' αὐτή. Ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾷν τὸ δαιμόνιον.

Ἐγὼ μὲν, ὦ Σώκρατες, ἔφη ὁ Εὐθύδημος, ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, [4]ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.

Ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε· ὁρᾷς γὰρ, ὅτι ὁ ἐν Δελφοῖς θεὸς, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται, ΝΟΜΩ ΠΟΛΕΩΣ. νόμος δὲ δήπου πανταχοῦ ἐστι, Κατὰ δύναμιν

ἱεροῖς θεοὺς ἀρέσκεσθαι. Πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον [1]τιμῴη θεοὺς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν;

Ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι· ὅταν γάρ τις τοῦτο ποιῇ, [2]φανερὸς δή που ἐστι τότε οὐ τιμῶν θεούς· χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν τιμᾶν τοὺς θεοὺς, θαῤῥεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά· [3]οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων· οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις ἀρέσκοι· ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς; Τοιαῦτα μὲν λέγων τε καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.

* * *

ΚΕΦ. η'.

* * *

[4]Τῶν δὲ Σωκράτην γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. Ἐμοὶ μὲν δὴ,—τοιοῦτος ὢν, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν· δίκαιος δὲ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ· ἐγκρατὴς δὲ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος· φρόνιμος δὲ, ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω, καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλὰ αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς

δε καὶ λόγῳ εἰπεῖν τε, καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε, καὶ ἁμαρτάνοντας ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ᾽ ἀρετὴν καὶ καλοκἀγαθίαν,—ἐδόκει [1] τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ, καὶ εὐδαιμονέστατος. Εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλου ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

II.

[1]E PLATONE.

Quis enim uberior in dicendo PLATONE? *Jovem, siquidem aiunt Philosophi, si Græcè loquatur, sic loqui.* CICERO IN BRUT.

[2]ΠΛΑΤΩΝΟΣ ΚΡΙΤΩΝ,

Η

ΠΕΡΙ ΠΡΑΚΤΕΟΥ.

[AD EDIT. BIESTERI ET BUTTMANNI. BEROLIN. 1811.]

ΣΩΚΡΑΤΗΣ ΚΡΙΤΩΝ.

ΣΩΚ. [3]ΤΙ τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῲ ἔτι ἐστί; ΚΡ. [4]Πάνυ μὲν οὖν. ΣΩΚ. Πηνίκα μάλιστα; ΚΡ. Ὄρθρος βαθύς. ΣΩΚ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι. ΚΡ. Ξυνήθης ἤδη μοι ἐστὶν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾷν· καί τι καὶ εὐεργετεῖται ὑπ' ἐμοῦ. ΣΩΚ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; ΚΡ. Ἐπιεικῶς πάλαι. ΣΩΚ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι; ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες· οὐδ' ἂν αὐτὸς ἤθε-

λον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. Ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. Καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα [1]τοῦ τρόπου, πολὺ δὲ μάλιστα [2]ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. ΣΩΚ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη, ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν. ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, [3]ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ. ΣΩΚ. Ἔστι ταῦτα. Ἀλλὰ τί δὴ οὕτω πρὼ ἀφῖξαι; ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· [4]ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα ἂν ἐνέγκαιμι. ΣΩΚ. Τίνα ταύτην; ἢ [5]τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με; ΚΡ. Οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. Δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰσαύριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

β'. ΣΩΚ. Ἀλλά, ὦ Κρίτων, [6]τύχῃ ἀγαθῇ· εἰ [7]ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω· οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον. ΚΡ. Πόθεν τοῦτο τεκμαίρῃ; ΣΩΚ. Ἐγώ σοι ἐρῶ. Τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν, ἢ ᾗ ἂν ἔλθοι τὸ πλοῖον. ΚΡ. Φασί δέ γέ τοι δὴ οἱ τούτων κύριοι. ΣΩΚ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας· τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· [8]καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με. ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

ΣΩΚ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδὴς, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με, καὶ εἰπεῖν, Ὦ Σώκρατες,

[1] Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες. ΣΩΚ. Ἐναργὲς [2] μὲν οὖν, ὥς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων. ΚΡ. Λίαν γε, ὡς ἔοικεν.

γ'. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι· ὡς ἐμοὶ, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία ξυμφορά ἐστιν· ἀλλὰ χωρὶς μὲν τοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, [3] ὡς, οἷός τε ὢν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελήσαιμι. Καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρήματα [4] περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοὶ, ὡς σὺ αὐτὸς οὐκ ἐθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμουμένων. ΣΩΚ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι, ὥσπερ ἂν πραχθῇ. ΚΡ. Ἀλλ' ὁρᾷς δὴ, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. Αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνὶ, ὅτι οἷοί τε εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ. ΣΩΚ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί* τε ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα· καὶ καλῶς ἂν εἶχε. Νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον, οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι· ποιοῦσι δὲ τοῦτο, ὅ τι ἂν τύχωσι.

δ'. ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Τάδε δὲ, ὦ Σώκρατες, εἰπέ μοι· [5] ἆρά γε μὴ ἐμοῦ προμηθῇ καὶ τῶν

ἄλλων ἐπιτηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, [1]οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβῇ, ἔασον αὐτὸ χαίρειν. Ἡμεῖς γάρ που δίκαιοί ἐσμεν, σώσαντές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον· καὶ, ἐὰν δέῃ, ἔτι τούτου μείζω. Ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. ΣΩΚ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. ΚΡ. Μὴ τοίνυν ταῦτα φοβοῦ. Καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. Ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγᾦμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμὰ, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν· εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανὸν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης, καὶ ἄλλοι πολλοὶ πάνυ. Ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτὸν, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅτι τι χρῷ σεαυτῷ. Πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε, ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θεττάλιαν.

ε΄. Ἔτι δὲ, ὦ Σώκρατες, οὐδὲ δικαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, [2]ἐξὸν σωθῆναι· καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. Πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαι-

διῶσαι, οἰχήσῃ καταλιπὼν, [1]καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι· τεύξονται δὲ ὡς τὸ εἰκὸς, τοιούτων, οἷά περ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. Ἢ γὰρ οὐ χρῆν ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα. Σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι· χρὴ δὲ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. Ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περί σε ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι· καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰσῆλθες, ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο· καὶ τὸ τελευταῖον δὴ τουτὶ, ὥσπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σε οὐ διεσώσαμεν, οὐδὲ σὺ σαυτὸν, οἷόν τε ὂν καὶ δυνατὸν, εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. Ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ, ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Μία δὲ βουλή· τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. Εἰ δὲ περιμενοῦμεν, ἀδύνατον, καὶ οὐκέτι οἷόν τε. Ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

ϛʹ. ΣΩΚ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μὴ, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον, εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. Τοὺς δὴ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι

νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ᾽ ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις, ὥσπερ παῖδας, ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις. ΚΡ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; ΣΩΚ. [1]Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ· ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Ἐπιθυμῶ δ᾽ ἔγωγε ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, [2]εἴ τι μοι ἀλλοιότερος φανεῖται, ἐπειδή γε ὧδε ἔχω, ἢ ὁ αὐτός· καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ. Ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τὶ λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. Τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; Σὺ γὰρ, [3]ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἂν σε παρακρούοι ἡ παροῦσα ξυμφορά. Σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾷν, ἀλλὰ τὰς μὲν, τὰς δ᾽ οὔ; οὐδὲ πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ᾽ οὔ; Τί φής; ταῦτα οὐχὶ καλῶς λέγεται; ΚΡ. Καλῶς. ΣΩΚ. Οὐκ οὖν τὰς μὲν χρηστὰς τιμᾷν, τὰς δὲ πονηρὰς, μή; ΚΡ. Ναί. ΣΩΚ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων· πονηραὶ δὲ, αἱ τῶν ἀφρόνων; ΚΡ. Πῶς δ᾽ οὔ;

ζ'. ΣΩΚ. [1]Φέρε δὴ, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; Γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, [2]ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν; ΚΡ. Ἑνὸς μόνου. ΣΩΚ. Οὐκ οὖν φοβεῖσθαι χρὴ τοὺς ψόγους, καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; ΚΡ. Δηλαδή. ΣΩΚ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον, καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ, τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. ΚΡ. Ἔστι ταῦτα. ΣΩΚ. Εἶεν. Ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται; ΚΡ. Πῶς γὰρ οὔ; ΣΩΚ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο, καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος; ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι. ΣΩΚ. Καλῶς λέγεις. Οὐκ οὖν καὶ τἄλλα, ὦ Κρίτων, οὕτως; ἵνα μὴ πάντα διΐωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλὴ, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτὴν, ἢ τῇ τοῦ ἑνὸς, εἴ τις ἐστὶν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο*; ἢ οὐδέν ἐστι τοῦτο; ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

η'. ΣΩΚ. Φέρε δὴ, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον, διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί; ΚΡ. Ναί. ΣΩΚ. Ἆρ' οὖν βιωτὸν ἡμῖν

ἐστὶ μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Ἀλλὰ μετ' ἐκείνου ἄρα ἐστὶν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Ἀλλὰ τιμιώτερον; ΚΡ. Πολύ γε. ΣΩΚ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. Ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δὴ φαίη γ' ἄν τις, Οἷοί τε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι. Δῆλα δὴ καὶ ταῦτα; ΚΡ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες. ΣΩΚ. Ἀληθῆ λέγεις. Ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος, ὃν διεληλύθαμεν, [1]ἔμοιγε δοκεῖ ἂν ὅμοιος εἶναι καὶ πρότερον· καὶ τόνδε δὲ αὖ σκοπεῖ, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. ΚΡ. Ἀλλὰ μένει. ΣΩΚ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως, ὅτι ταὐτόν ἐστι, μένει, ἢ οὐ μένει; ΚΡ. Μένει.

Θ'. ΣΩΚ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα· εἰ δὲ μή, ἐῶμεν. Ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως, καὶ δόξης, καὶ παίδων τροφῆς, [2]μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ,—τούτων τῶν πολλῶν· ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ, ἢ ὅπερ νῦν δὴ ἐλέγομεν· πότερον δίκαια

πράξομεν, καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι, καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν, πάντα ταῦτα ποιοῦντες. Κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν, πρὸ τοῦ ἀδικεῖν. ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν. ΣΩΚ. Σκοπῶμεν, ὦ 'γαθέ, κοινῇ· καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε, ἀκόντων Ἀθηναίων, ἐμὲ ἀπιέναι· ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος.* Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχὴν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ. ΚΡ. Ἀλλὰ πειράσομαι.

ι'. ΣΩΚ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι; ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν, οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη, ὅπερ καὶ ἄρτι ἐλέγετο; ἢ πᾶσαι ἡμῖν αἱ ἐκεῖναι πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσὶ, καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες ἄνδρες, πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἡμῖν ἐλέγετο, εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή; καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τόγε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν, ἢ οὔ; ΚΡ. Φαμέν. ΣΩΚ. Οὐδαμῶς

ἄρα δεῖ ἀδικεῖν. ΚΡ. Οὐ δῆτα. ΣΩΚ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν. ΚΡ. Οὐ φαίνεται. ΣΩΚ. Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; ΚΡ. Οὐ δεῖ δή που, ὦ Σώκρατες. ΣΩΚ. [1]Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ΚΡ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἄνθρωπον, οὐδ᾽ ἂν ὁτιοῦν πάσχῃ ὑπ᾽ αὐτῶν.—Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. Οἷς δ᾽ οὕτω δέδοκται, καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ᾽ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας ἀλλήλων τὰ βουλεύματα. Σκόπει οὖν δὴ καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ συνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν, οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι, ἀντιδρῶντα κακῶς·—ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς· ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. Εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. ΚΡ. Ἀλλ᾽ ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε. ΣΩΚ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ, πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον, ἢ ἐξαπατητέον. ΚΡ. Ποιητέον.

ιά. ΣΩΚ. Ἐκ τούτων δὴ ἄθρει· ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινὰς ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν, δικαίοις οὖσιν, ἢ οὔ; ΚΡ. Οὐκ

ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ. ΣΩΚ. Ἀλλ' ὧδε σκόπει· εἰ μέλλουσιν ἡμῖν ἐνθένδε, εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπιστάντες ἔροιντο, Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; Τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι· ἢ ἐροῦμεν πρὸς αὐτοὺς, Ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν; ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

ιβ'. ΣΩΚ. Τί οὖν; ἂν εἴπωσιν οἱ νόμοι, Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοὶ, ἐμμένειν ταῖς δίκαις, αἷς ἂν ἡ πόλις δικάζοι; Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, Ὅτι, ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου.—ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾷν τε καὶ ἀποκρίνεσθαι.—Φέρε γὰρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει, ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; Οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς; καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ, καὶ ἐφύτευσέ σε; Φράσον οὖν τούτοις ἡμῶν τοῖς νόμοις, τοῖς περὶ τοὺς γάμους, μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτῳ

τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; Καλῶς, φαίην ἄν. Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; Καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σὺ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην, εἴ σοι ὢν ἐτύγχανεν, ὥστε ἅπερ πάσχεις, ταῦτα καὶ ἀντιποιεῖν· οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοιαῦτα πολλά; πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι, δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι; καὶ φήσεις, ταῦτα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελούμενος; ἢ οὕτως εἶ σοφὸς, ὥστε λέληθέ σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστι πατρὶς, καὶ σεμνότερον καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς, καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι; καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα; καὶ ἢ πείθειν, ἢ ποιεῖν ἃ ἂν κελεύῃ; καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι; ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει; καὶ οὐχ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν; ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ, καὶ πανταχοῦ, ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς; ἢ πείθειν αὐτὴν ᾗ τὸ δίκαιον πέφυκε; βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων

ἔτι ἧττον τὴν πατρίδα; Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμος, ἢ οὔ; ΚΡ. Ἔμοιγε δοκεῖ.

ιγʹ. ΣΩΚ. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾷν, ἃ ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων, ὧν οἷοί τε ἦμεν, καλῶν, σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύομεν, [1]τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ, ἀπιέναι ὅπη ἂν βούληται· [2]καὶ οὐδεὶς ἡμῶν τῶν νόμους ἐμποδών ἐστιν, οὐδ᾽ ἀπαγορεύει, ἐάν τέ τις βούληται ἡμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθὼν, ἰέναι ἐκεῖσε, ὅποι ἂν βούληται, ἔχων τὰ αὑτοῦ· ὃς δ᾽ ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἄλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὁμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν ἀδικεῖν· ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι· καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς, ἢ ποιεῖν· τούτων οὐδέτερα [3]ποιεῖ.

ιδʹ. Ταύταις δὴ φαμὲν καί σε, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων σε, ἀλλ᾽ ἐν τοῖς μάλιστα. Εἰ οὖν ἐγὼ εἴποιμι, διὰ τί δή; [4]ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες, [5]Ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς

ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. Φαῖεν γὰρ ἂν, Ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι, καὶ ἡμεῖς ἠρέσκομεν, καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ οὔτ᾽ ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἴσθμον, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή μοι στρατευσόμενος, οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι· οὐδ᾽ ἐπιθυμία σε ἄλλης πόλεως, οὐδ᾽ ἄλλων νόμων ἔλαβεν εἰδέναι· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ᾑροῦ, καὶ ὁμολόγεις καθ᾽ ἡμᾶς πολιτεύσεσθαι· τά τε ἄλλα, καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ, ὅπερ νῦν, ἀκούσης τῆς πόλεως, ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. Σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε, ἀλλ᾽ ᾑροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ᾽ ἐκείνους τοὺς λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν διαφθεῖραι· πράττεις τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ᾽ ἃς ἡμῖν [1]ξυνέθου πολιτεύεσθαι. Πρῶτον μὲν οὖν ἡμῖν τοῦτο αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ᾽ ἡμᾶς, ἔργῳ, ἀλλ᾽ οὐ λόγῳ· ἢ οὐκ ἀληθῆ; Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩΚ. Ἄλλο τι οὖν, φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις; οὐχ ὑπ᾽ ἀνάγκης ὁμολογήσας, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ᾽ ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. Σύ τε

οὔτε Λακεδαίμονα προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὔτε τῶν βαρβαρικῶν· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε, καὶ ἡμεῖς, [1]οἱ νόμοι δηλονότι. Τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; Νῦν δὲ δὴ οὐκ ἐμμενεῖς τοῖς ὡμολογημένοις· ἐμμενεῖς δὲ, ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ, ἐκ τῆς πόλεως ἐξελθών.

ιε'. Σκόπει γὰρ δὴ, ταῦτα παραβὰς, καὶ ἐξαμαρτών τι τούτων, τί ἀγαθὸν ἐργάσῃ σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. Ὅτι μὲν γὰρ κινδυνεύσουσι γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. Αὐτὸς δὲ πρῶτον μὲν, ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε, εὐνομοῦνται γὰρ ἀμφότεραι, πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοιπερ κήδονται τῶν αὐτῶν πόλεων ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. Ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. Πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις, [2]καὶ ἀναισχυντήσεις διαλεγόμενος τινὰς λόγους, ὦ Σώκρατες, οἵουσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη, πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; Καὶ οὐκ οἴει ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος. Ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία· καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν ὡς γελοίως ἐκ

τοῦ δεσμωτηρίου ἀπεδίδρασκες, σκευήν τέ τινα περιθέμενος, ἢ διφθέραν λαβὼν, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. Ὅτι δὲ γέρων ἀνὴρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῇν, νόμους τοὺς μεγίστους παραβὰς, οὐδεὶς ὃς ἐρεῖ; Ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μὴ, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ· ὑπερχόμενος δὴ πάντας ἀνθρώπους βιώσῃ, καὶ δουλεύων· τί ποιῶν, ἢ εὐωχούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; Λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς, ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῇν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς. [1]Τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ ζῶντος, βέλτιον [2]θρέψονται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον, ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς ᾅδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστι, τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή.

ιϛʹ. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῇν, μήτε ἄλλο μηδὲν, πρὸ τοῦ δικαίου· ἵνα, εἰς ᾅδου ἐλθὼν, ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. Οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς, οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς

σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς, καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ, οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται· εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.

ιζ. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, [1]ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. Ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. ΣΩΚ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

[1]Η

ΤΟΥ ΣΩΚΡΑΤΟΥΣ
ΒΙΟΥ ΤΕΛΕΥΤΗ.

[AD EDITIONEM D. WYTTENBACH. LUGD. BAT. 1810.]

ΕΚ ΤΟΥ ΦΑΙΔΩΝΟΣ.

* * *

—Ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη γ' ἂν ἀνὴρ τραγικὸς, ἡ εἱμαρμένη, καὶ σχεδόν τι μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν· δοκεῖ γὰρ ἤδη βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον, καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν [2]νεκρὸν λούειν.

ξζ'. Ταῦτα δὴ εἰπόντος αὐτοῦ, ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες. Τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιτέλλῃ, ἢ περὶ τῶν παίδων, ἢ περὶ ἄλλου του, [3]ὅ τι ἂν σοι ποιοῦντες ἡμεῖς, ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων· οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς, [4]καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε, καὶ μὴ θέλητε, ὥσπερ κατ' ἴχνη, κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ, ζῆν, οὐδὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι, καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν [5]προθυμησόμεθα, ἔφη, οὕτω ποιεῖν. [6]Θάπτομεν δὲ τίνα σε τρόπον; Ὅπως ἂν, ἔφη, βούλησθε· ἐάν πέρ γε λάβητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ, καὶ πρὸς ἡμᾶς ἀποβλέψας,

εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σώκρατης, ὁ νυνὶ διαλεγόμενος, καὶ διατάττων ἕκαστα τῶν λεγομένων· ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρὸν, καὶ ἐρωτᾷ πῶς δεῖ με θάπτειν. [1]Ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. [2]Ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. Οὗτος μὲν γὰρ ἦ μὴν παραμενεῖν, ὑμεῖς δὲ, ἦ μὴν μὴ παραμενεῖν, ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα· ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ, ὁρῶν μοῦ τὸ σῶμα ἢ καιόμενον ἢ κατορυττόμενον, ἀγανακτῇ ὑπὲρ ἐμοῦ, ὡς [3]δεινὰ ἄττα πάσχοντος· μηδὲ λέγῃ ἐν τῇ ταφῇ, [4]ὡς ἢ προτίθεται Σωκράτη, ἢ ἐκφέρει, ἢ κατορύττει. Εὖ γὰρ ἴσθι, [5]ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν, οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελὲς, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. Ἀλλὰ θαῤῥεῖν τε χρὴ, [6]καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως, ὅπως ἄν σοι φίλον ᾖ, καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.

ξή. Ταῦτ' εἰπὼν, ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ· ἡμᾶς δ' ἐκέλευε περιμένειν. Περιμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τότε δ' αὖ περὶ τῆς συμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. Ἐπειδὴ δὲ ἐλούσατο, καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία,—δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας,—καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο· ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε

καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν· αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. Καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. Ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἅττα μετὰ ταῦτα διελέχθη. Καὶ ἧκεν [1]ὁ τῶν Ἕνδεκα ὑπηρέτης, καὶ στὰς παρ' αὐτὸν, Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γέ σου ὅπερ ἄλλων καταγινώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων· σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων· καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις, γινώσκεις γὰρ τοὺς αἰτίους, ἀλλὰ ἐκείνοις. Νῦν οὖν, οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν, χαῖρέ τε, καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Καὶ ἅμα δακρύσας, μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης, ἀναβλέψας πρὸς αὐτὸν, Καὶ σὺ, ἔφη, χαῖρε· καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο ἐνίοτε· καὶ ἦν ἀνδρῶν λῷστος· καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. Ἀλλά γε δὴ, ὦ Κρίτων, πειθώμεθα αὐτῷ· καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μὴ, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι· καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ συγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες· ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, ἃ σὺ λέγεις, οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες, καὶ ἔγωγε εἰκότως

ταῦτα οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδανεῖν, ὀλίγον ὕστερον πιὼν, ἄλλο γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν, καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. Ἀλλ' ἴθι, ἔφη, πείθου, καὶ μὴ ἄλλως ποίει.

ξθ'. Καὶ ὁ Κρίτων ἀκούσας, ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι· καὶ ὁ παῖς ἐξελθὼν, καὶ συχνὸν χρόνον διατρίψας, ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βέλτιστε· σὺ γὰρ τούτων ἐπιστήμων· τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιϊέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται· ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει· καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. Καὶ ὃς λαβὼν, καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας, οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει, [1]ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος, πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαι γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε, καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦτα, ἐπισχόμενος, καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. Καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν· ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι. [2]Ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα· ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν. Οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. Ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ

δὴ καὶ τότε ἀναβρυχησάμενος, κλαίων καὶ ἀγανακτῶν, [1]οὐδένα ὅντινα οὐ κατέκλαυσε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. Ἐκεῖνος δὲ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι· ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾷν· ἀλλ' ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. Ὁ δ' περιελθὼν, ἐπειδὴ οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευσεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη· κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας, καὶ ἐπανιὼν, οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι [2]ψύχοιτό τε καὶ πηγνύοιτο. Καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. Ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα· καὶ ἐκκαλυψάμενος,—ἐνεκεκάλυπτο γὰρ,—εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, Ὦ Κρίτων, ἔφη, [3]τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα ἔσται, ἔφη ὁ Κρίτων· ἀλλ' ὅρα εἴτι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον χρόνον διαλιπὼν, ἐκινήθη τε, καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν. Καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων [4]συνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

ο'. Ἥδε ἡ τελευτὴ, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, [5]ἀνδρὸς, ὡς ἡμεῖς φαῖμεν ἂν, τῶν τότε, ὧν ἐπειράθημεν, ἀρίστου, καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

III.

[1] Ex ARISTOTELE.

[AD EDIT. GUIL. DU VAL. PARIS. 1654. IV. TOM. IN FOL.]

Abundantiâ quadam ingenii præstabat, ut mihi quidem videtur, ARISTOTELES. CICERO ACAD. I. 4.

---

[2] ΕΚ ΤΟΥ

᾽ΑΡΙΣΤΟΤΕΛΟΥΣ

῾ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΒΙΒΛΙΟΥ Δ΄.

* * *

[3] ΚΕΦ. γ΄.

Περὶ μεγαλοψυχίας, ὅτι περὶ τιμάς ἐστι μάλιστα.

* * *

—ΔΟΚΕΙ—μεγαλόψυχος εἶναι ὁ μεγάλων αὑτὸν ἀξιῶν, ἄξιος ὤν· [4] ὁ γὰρ μὴ κατ' ἀξίαν αὐτὸ ποιῶν, ἠλίθιος· τῶν δὲ κατ' ἀρετὴν οὐδεὶς ἠλίθιος, οὐδ' ἀνόητος. Μεγαλόψυχος μὲν οὖν ὁ εἰρημένος· ὁ γὰρ μικρῶν ἄξιος, καὶ τούτων ἀξιῶν ἑαυτὸν, σώφρων, μεγαλόψυχος δ' οὔ· ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ὥσπερ καὶ [5] τὸ κάλλος ἐν μεγάλῳ σώματι· οἱ μικροὶ δ'

ἀστεῖοι καὶ σύμμετροι, καλοὶ δ' οὔ· ὁ δὲ μεγάλων αὑτὸν ἀξιῶν, ἀνάξιος ὤν, χαῦνος· [1]ὁ δὲ μειζόνων ἢ ἄξιος, οὐ πᾶς χαῦνος· ὁ δ' ἐλαττόνων ἢ ἄξιος, μικρόψυχος, ἐάν τε μεγάλων, ἐάν τε μετρίων, ἐάν τε καὶ μικρῶν ἄξιος ὤν, ἔτι ἐλαττόνων ἑαυτὸν ἀξιοῖ,—καὶ μάλιστα ἂν δόξειεν ὁ μεγάλων ἄξιος· [2]τί γὰρ ἂν ἐποίει, εἰ μὴ τοιούτων ἦν ἄξιος; [3]Ἔστι δὴ ὁ μεγαλόψυχος, τῷ μὲν μεγέθει ἄκρος, τῷ δὲ, ὡς δεῖ, μέσος· τοῦ γὰρ κατ' ἀξίαν ἑαυτὸν ἀξιοῖ· οἱ δ' ὑπερβάλλουσι, καὶ ἐλλείπουσιν. Εἰ δὲ δὴ μεγάλων ἑαυτὸν ἀξιοῖ, ἄξιος ὤν, καὶ μάλιστα τῶν μεγίστων, [4]περὶ ἓν μάλιστα ἂν εἴη· [τί οὖν τοῦτ' ἔστιν, ἐκ τῆς ἀξίας ληπτέον·] ἡ δὲ ἀξία λέγεται πρὸς τὰ ἐκτὸς ἀγαθά· μέγιστον δὲ τοῦτ' ἂν θείημεν, ὃ τοῖς θεοῖς ἀπονέμομεν, καὶ οὗ μάλιστα ἐφίενται οἱ ἐν ἀξιώματι, καὶ τὸ ἐπὶ τοῖς καλλίστοις ἆθλον· τοιοῦτον δ' ἡ τιμή· μέγιστον γὰρ δὴ τοῦτο τῶν ἐκτὸς ἀγαθῶν. Περὶ τιμὰς δὴ καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστιν, ὡς δεῖ· [5]καὶ ἄνευ δὲ λόγου φαίνονται οἱ μεγαλόψυχοι περὶ τιμὴν εἶναι· τιμῆς γὰρ μάλισθ' οἱ μεγάλοι ἀξιοῦσιν ἑαυτούς· κατ' ἀξίαν δέ· ὁ δὲ μικρόψυχος ἐλλείπει καὶ πρὸς αὑτὸν, καὶ πρὸς τὸ τοῦ μεγαλοψύχου ἀξίωμα· ὁ δὲ χαῦνος, πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει· οὐ μὴν τόν γε μεγαλόψυχον· ὁ δὲ μεγαλόψυχος, εἴπερ τῶν μεγίστων ἄξιος, ἄριστος ἂν εἴη· μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος, καὶ μεγίστων ὁ ἄριστος. Τὸν [6]ὡς ἀληθῶς ἄρα μεγαλόψυχον, δεῖ ἀγαθὸν εἶναι· [7]καὶ δόξειε δ' ἂν εἶναι μεγαλοψύχου, τὸ ἐν ἑκάστῃ ἀρετῇ μέγα· οὐδαμῶς τ' ἂν ἁρμόζοι μεγαλοψύχῳ φεύγειν παρασείσαντι, οὐδὲ ἀδικεῖν· τίνος γὰρ ἕνεκα πράξει αἰσχρὰ, ᾧ οὐθὲν μέγα; Καθ' ἕκαστα δ' ἐπισκοποῦντι πάμπαν γελοῖος φαίνοιτ' ἂν ὁ μεγαλόψυχος, μὴ ἀγαθὸς ὤν. Οὐκ εἴη δ' ἂν οὐδὲ τιμῆς ἄξιος, φαῦλος ὤν· τῆς ἀρετῆς γὰρ ἆθλον ἡ τιμὴ, καὶ ἀπονέμε-

ται τοῖς ἀγαθοῖς. Ἔοικε μὲν οὖν ἡ μεγαλοψυχία, οἷον κόσμός τις εἶναι τῶν ἀρετῶν· μείζους γὰρ αὐτὰς ποιεῖ, καὶ οὐ γίνεται ἄνευ ἐκείνων· διὰ τοῦτο χαλεπὸν τῇ ἀληθείᾳ μεγαλόψυχον εἶναι· οὐ γὰρ οἷόν τε ἄνευ καλοκἀγαθίας. Μάλιστα μὲν οὖν περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστι· καὶ ἐπὶ μὲν ταῖς μεγάλαις, καὶ ὑπὸ τῶν σπουδαίων μετρίως ἡσθήσεται, ὡς τῶν οἰκείων τυγχάνων, ἢ καὶ ἐλαττόνων· ἀρετῆς γὰρ παντελοῦς οὐκ ἂν γένοιτο ἀξία τιμή· [1]οὐ μὴν ἀλλ' ἀποδέξεταί γε, τῷ μὴ ἔχειν αὐτοὺς μείζω αὐτῷ ἀπονέμειν. Τῆς δὲ [2]παρὰ τῶν τυχόντων καὶ ἐπὶ μικροῖς, πάμπαν ὀλιγωρήσει· οὐ γὰρ τούτων ἄξιος. Ὁμοίως δὲ καὶ ἀτιμίας· οὐ γὰρ ἔσται δικαίως περὶ αὐτόν. Μάλιστα μὲν οὖν ἐστιν, ὥσπερ εἴρηται, ὁ μεγαλόψυχος περὶ τιμάς. Οὐ μὴν ἀλλὰ καὶ περὶ πλοῦτον καὶ δυναστείαν, καὶ πᾶσαν εὐτυχίαν καὶ ἀτυχίαν μετρίως ἕξει, ὅπως ἂν γένηται· καὶ οὔτ' εὐτυχῶν περιχαρὴς ἔσται, οὔτε ἀτυχῶν περίλυπος· [3]οὐδὲ γὰρ περὶ τιμὴν οὕτως ἔχει, ὡς μέγιστον ὄν· αἱ γὰρ δυναστεῖαι καὶ ὁ πλοῦτος διὰ τὴν τιμήν ἐστιν αἱρετά· οἱ γοῦν ἔχοντες αὐτὰ, τιμᾶσθαι, δι' αὐτῶν βούλονται· ᾧ δὴ καὶ ἡ τιμὴ μικρόν ἐστι, τούτῳ καὶ τἄλλα.

[4]ΚΕΦ. η'.

Τίνες αἱ κατὰ μεγαλοψυχίαν πράξεις.

[5]Διὸ καὶ ὑπερόπται δοκοῦσιν εἶναι. Δοκεῖ δὲ καὶ τὰ εὐτυχήματα συμβάλλεσθαι πρὸς μεγαλοψυχίαν· οἱ γὰρ εὐγενεῖς ἀξιοῦνται τιμῆς· καὶ οἱ δυναστεύοντες, ἢ οἱ πλουτοῦντες· ἐν ὑπεροχῇ γάρ· [6]τὸ δ' ἀγαθῷ ὑπερέχον

πᾶν, ἐντιμότερον. Διὸ καὶ τὰ τοιαῦτα μεγαλοψυχοτέρους ποιεῖ· τιμῶνται γὰρ ὑπό τινων. Κατ' ἀλήθειαν δὲ ὁ ἀγαθὸς μόνος τιμητός· ᾧ δ' ἄμφω ὑπάρχει, μᾶλλον ἀξιοῦται τιμῆς· οἱ δ' ἄνευ ἀρετῆς τὰ τοιαῦτα ἀγαθὰ ἔχοντες, οὔτε δικαίως ἑαυτοὺς μεγάλων ἀξιοῦσιν, οὔτε ὀρθῶς μεγαλόψυχοι λέγονται· ἄνευ γὰρ ἀρετῆς παντελοῦς οὐκ ἔστι ταῦτα. Ὑπερόπται δὲ καὶ ὑβρισταὶ, καὶ τὰ τοιαῦτα ἔχοντες, κακοὶ γίγνονται· ἄνευ γὰρ ἀρετῆς οὐ ῥᾴδιον φέρειν ἐμμελῶς* τὰ εὐτυχήματα· οὐ δυνάμενοι δὲ φέρειν, καὶ οἰόμενοι τῶν ἄλλων ὑπερέχειν, ἐκείνων μὲν καταφρονοῦσιν· αὐτοὶ δ' ὅ τι ἂν τύχωσι, πράττουσι· μιμοῦνται γὰρ τὸν μεγαλόψυχον, οὐχ ὅμοιοι ὄντες, τοῦτο δὲ δρῶσιν ἐν οἷς δύνανται· τὰ μὲν οὖν κατ' ἀρετὴν οὐ πράττουσι· καταφρονοῦσι δὲ τῶν ἄλλων. Ὁ δὲ μεγαλόψυχος, δικαίως καταφρονεῖ· δοξάζει γὰρ ἀληθῶς· οἱ δὲ πολλοὶ, τυχόντως. Οὐκ ἔστι δὲ [1]μικροκίνδυνος, οὐδὲ φιλοκίνδυνος, διὰ τὸ ὀλίγα τιμᾶν· μεγαλοκίνδυνος δέ· καὶ ὅταν κινδυνεύῃ, ἀφειδὴς τοῦ βίου, ὡς οὐκ ἄξιον ὂν πάντως ζῆν. Καὶ οἷος εὖ ποιεῖν, εὐεργετούμενος δ' αἰσχύνεται· τὸ μὲν γὰρ ὑπερέχοντος, τὸ δὲ ὑπερεχομένου. [2]Καὶ ἀντευεργετικὸς πλειόνων· [3]οὕτω γὰρ προσοφλήσει ὁ ὑπάρξας, καὶ ἔσται εὖ πεπονθώς. Δοκοῦσι δὲ καὶ μνημονεύειν, οὓς ἂν ποιήσωσιν εὖ· [4]ὧν δ' ἂν πάθωσιν, οὔ· ἐλάττων γὰρ ὁ παθὼν εὖ, τοῦ ποιήσαντος· βούλεται δὲ ὑπερέχειν· καὶ τὰ μὲν ἡδέως ἀκούει, τὰ δ' ἀηδῶς. [5]Διὸ καὶ τὴν Θέτιν οὐ λέγειν τὰς εὐεργεσίας τῷ Διΐ· [6]οὐδ' οἱ Λάκωνες πρὸς τοὺς Ἀθηναίους, ἀλλ' ἃ πεπόνθεσαν εὖ. Μεγαλοψύχου δὲ καὶ τὸ μηθενὸς δεῖσθαι, ἢ μόγις· ὑπηρετεῖν δὲ προθύμως· καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώματι καὶ εὐτυχίαις, μέγαν εἶναι· πρὸς δὲ τοὺς μέσους, μέτριον· τῶν μὲν γὰρ ὑπερέχειν, χαλεπὸν καὶ σεμνόν· τῶν δὲ, ῥᾴδιον· καὶ ἐν

ἐκείνοις μὲν σεμνύνεσθαι, οὐκ ἀγεννές· ἐν δὲ τοῖς ταπεινοῖς, φορτικὸν*, ὥσπερ εἰς τοὺς ἀσθενεῖς ἰσχυρίζεσθαι. Καὶ εἰς τὰ ἔντιμα μὴ ἰέναι, ἢ οὗ πρωτεύουσιν ἄλλοι· καὶ ἀργὸν εἶναι καὶ μελλητὴν, ἀλλ' ἢ ὅπου τιμὴ μεγάλη ἢ ἔργον. Καὶ ὀλίγων μὲν πρακτικὸν, μεγάλων δὲ καὶ ὀνομαστῶν. Ἀναγκαῖον δὲ καὶ φανερόμισον εἶναι καὶ φανερόφιλον· τὸ γὰρ λανθάνειν, φοβουμένου. Καὶ μέλειν τῆς ἀληθείας μᾶλλον ἢ τῆς δόξης, καὶ λέγειν καὶ πράττειν φανερῶς· * [1]καταφρονητικοῦ γὰρ, διὸ παῤῥησιαστικός· παῤῥησιαστικοῦ δὲ, διὸ καταφρονητικὸς καὶ ἀληθευτικός· πλὴν ὅσα μὴ δι' εἰρωνείαν· εἴρων δὲ πρὸς τοὺς πολλούς· καὶ πρὸς ἄλλον μὴ δύνασθαι ζῆν, ἀλλ' ἢ πρὸς φίλον· δουλικὸν γάρ. Διὸ καὶ πάντες οἱ κόλακες, θητικοί· καὶ οἱ ταπεινοὶ, κόλακες. Οὐδὲ θαυμαστικός· οὐθὲν γὰρ μέγα αὐτῷ ἐστιν. Οὐδὲ μνησίκακος· οὐ γὰρ μεγαλοψύχου τὸ ἀπομνημονεύειν, ἄλλως τε καὶ κακά· ἀλλὰ μᾶλλον παρορᾶν. Οὐδὲ ἀνθρωπολόγος· οὔτε γὰρ περὶ αὑτοῦ ἐρεῖ, οὔτε περὶ ἑτέρου· οὔτε γὰρ ἵνα ἐπαινῆται, μέλει αὐτῷ, οὐθ' ὅπως οἱ ἄλλοι ψέγωνται. Οὐδ' αὖ ἐπαινετικός ἐστι· διόπερ οὐδὲ κακολόγος, οὐδὲ τῶν ἐχθρῶν, εἰ μὴ δι' ὕβριν. Καὶ περὶ ἀναγκαίων ἢ μικρῶν ἥκιστα ὀλοφυρτικὸς καὶ δεητικός· [2]σπουδάζοντος γὰρ οὕτως ἔχειν περὶ ταῦτα. Καὶ οἷος κεκτῆσθαι μᾶλλον τὰ καλὰ καὶ ἄκαρπα τῶν καρπίμων καὶ ὠφελίμων· αὐτάρκους γὰρ μᾶλλον. Καὶ κίνησις δὲ βραδεῖα τοῦ μεγαλοψύχου δοκεῖ εἶναι, καὶ φωνὴ βαρεῖα, καὶ λέξις στάσιμος· οὐ γὰρ σπευστικὸς, ὁ περὶ ὀλίγα σπουδάζων· οὐδὲ σύντονος,

* Legendum videtur, καταφρονητικοῦ γάρ· διὸ παῤῥησιαστικὸς καὶ ἀληθευτικός. Mox dedi εἴρων pro εἴρωνα.

ὁ μηθὲν μέγα οἰόμενος· ἡ δ' ὀξυφωνία καὶ ἡ ταχύτης, διὰ τούτων. Τοιοῦτος μὲν οὖν ὁ μεγαλόψυχος.

[1] ΚΕΦ. Θ'.

Περὶ τοῦ μικροψύχου καὶ τοῦ χαύνου.

Ὁ δ' ἐλλείπων, μικρόψυχος· ὁ δ' ὑπερβάλλων, χαῦνος· οὐ κακοὶ μὲν οὖν δοκοῦσιν εἶναι οὐδ' οὗτοι· οὐ γὰρ κακοποιοί εἰσιν· ἡμαρτημένοι δέ· ὁ μὲν γὰρ μικρόψυχος, ἄξιος ὢν ἀγαθῶν, ἑαυτὸν ἀποστερεῖ ὧν ἄξιός ἐστι· καὶ ἔοικε κακὸν ἔχειν τι, ἐκ τοῦ μὴ ἀξιοῦν ἑαυτὸν τῶν ἀγαθῶν, καὶ ἀγνοεῖν δ' ἑαυτόν· [2] ὠρέγετο γὰρ ἂν ὧν ἄξιος ἦν, ἀγαθῶν γε ὄντων· οὐ μὴν ἠλίθιοί γε οἱ τοιοῦτοι δοκοῦσιν εἶναι, ἀλλὰ μᾶλλον ὀκνηροί· ἡ τοιαύτη δὲ δόξα δοκεῖ καὶ χείρους ποιεῖν· ἕκαστοι γὰρ ἐφίενται τῶν κατ' ἀξίαν· [3] ἀφίστανται δὲ καὶ τῶν πράξεων τῶν καλῶν καὶ τῶν ἐπιτηδευμάτων, ὡς ἀνάξιοι ὄντες· ὁμοίως δὲ καὶ τῶν ἐκτὸς ἀγαθῶν. Οἱ δὲ χαῦνοι, ἠλίθιοι, καὶ ἑαυτοὺς ἀγνοοῦντες, καὶ ταῦτ' ἐπιφανῶς· ὡς γὰρ ἄξιοι ὄντες, τοῖς ἐντίμοις ἐπιχειροῦσιν, εἶτα ἐξελέγχονται· καὶ ἐσθῆτι κοσμοῦνται, καὶ σχήματι, καὶ τοῖς τοιούτοις· καὶ βούλονται τὰ εὐτυχήματα φανερὰ εἶναι αὐτῶν, καὶ λέγουσι περὶ αὐτῶν, ὡς διὰ τούτων τιμηθησόμενοι. Ἀντιτίθεται δ' τῇ μεγαλοψυχίᾳ ἡ μικροψυχία μᾶλλον τῆς χαυνότητος· καὶ γὰρ γίγνεται μᾶλλον, καὶ χεῖρόν ἐστιν. Ἡ μὲν οὖν μεγαλοψυχία, περὶ τιμήν ἐστι μεγάλην, ὥσπερ εἴρηται.

[1] ἘΚ ΤΟΥ ΒΙΒΛΙΟΥ Η'.

ΚΕΦ. α'.

Ὅτι περὶ φιλίας σκεπτέον· καὶ ἔπαινος αὐτῆς.

[2] Μετὰ δὲ ταῦτα, περὶ φιλίας ἕποιτ' ἂν διελθεῖν· ἔστι γὰρ ἀρετή τις, ἢ μετ' ἀρετῆς. Ἔτι δ', ἀναγκαιότατον εἰς τὸν βίον· ἄνευ γὰρ φίλων, οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα· καὶ γὰρ πλουτοῦσι, καὶ ἀρχὰς καὶ δυναστείας κεκτημένοις δοκεῖ μάλιστα φίλων εἶναι χρεία· τί γὰρ ὄφελος τῆς τοιαύτης εὐετηρίας, ἀφαιρεθείσης εὐεργεσίας, ἣ γίγνεται μάλιστα καὶ ἐπαινετωτάτη πρὸς φίλους; ἢ πῶς ἂν τηρηθείη καὶ σώζοιτο ἄνευ φίλων; ὅσῳ γὰρ πλείων, τοσούτῳ ἐπισφαλεστέρα. Ἐν πενίᾳ δὲ καὶ ταῖς λοιπαῖς δυστυχίαις, μόνην οἴονται καταφυγὴν εἶναι τοὺς φίλους· [3]καὶ νέοις δ' πρὸς τὸ ἀναμάρτητον, καὶ πρεσβυτέροις πρὸς θεραπείαν, καὶ τὸ ἐλλεῖπον τῆς πράξεως δι' ἀσθένειαν βοηθείας· τοῖς τ' ἐν ἀκμῇ, πρὸς τὰς καλὰς πράξεις,

—[4] Σύν τε δύ' ἐρχομένω—

καὶ γὰρ νοῆσαι καὶ πρᾶξαι δυνατώτεροι. Φύσει τ' ἐνυπάρχειν ἔοικε πρὸς τὸ γεγεννημένον τῷ γεννήσαντι· καὶ οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν ὀρνέοις*, καὶ ἐν τοῖς πλείστοις τῶν ζώων, καὶ τοῖς ὁμοεθνέσι πρὸς ἄλληλα· καὶ μάλιστα τοῖς ἀνθρώποις· ὅθεν τοὺς φιλανθρώπους ἐπαινοῦμεν. Ἴδοι δ' ἄν τις καὶ ἐν ταῖς πλάναις, ὡς οἰκεῖον ἅπας ἄνθρωπος ἀνθρώπῳ καὶ φίλον. Ἔοικε δὲ καὶ τὰς πόλεις συνέχειν ἡ φιλία· καὶ οἱ νομοθέται μᾶλλον περὶ αὐτὴν σπουδάζειν, ἢ τὴν δικαιοσύνην· ἡ γὰρ ὁμόνοια ὅμοιόν τι τῇ φιλίᾳ ἔοικεν εἶναι· ταύτης δὲ μάλιστα ἐφίενται, καὶ

τὴν στάσιν ἔχθραν μάλιστα ἐξελαύνουσι. Καὶ φίλων μὲν ὄντων, οὐδὲν δεῖ δικαιοσύνης· δίκαιοι δὲ ὄντες, προσδέονται φιλίας. [1]Καὶ τῶν δικαίων τὸ μάλιστα φιλικὸν εἶναι δοκεῖ. Οὐ μόνον δὲ ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ καλόν· τοὺς γὰρ φιλοφίλους ἐπαινοῦμεν· ἥτε φιλοφιλία δοκεῖ τῶν καλῶν ἕν τι εἶναι. Ἔτι, καὶ ἔνιοι τοὺς αὐτοὺς ἄνδρας οἴονται ἀγαθοὺς εἶναι καὶ φίλους.

[1] ΕΚ

ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΤΕΧΝΗΣ ῬΗΤΟΡΙΚΗΣ

ΒΙΒΛΙΟΥ Β'.

* * *

ΚΕΦ. ιβ'.

Περὶ παθῶν καὶ ἕξεων τῶν νέων.

[2] ΤΑ δὲ ἤθη ποῖοί τινες, καὶ τὰ πάθη, καὶ τὰς ἕξεις, καὶ τὰς ἡλικίας, καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. Λέγω δὲ, πάθη μὲν ὀργὴν, ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον. Ἕξεις δὲ, ἀρετὰς, καὶ κακίας· εἴρηται δὲ καὶ περὶ τούτων πρότερον, [3] καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. Ἡλικίαι δέ εἰσι, νεότης, καὶ ἀκμὴ, καὶ γῆρας. Τύχην δὲ λέγω, εὐγένειαν, καὶ πλοῦτον, καὶ δυνάμεις, καὶ τἀνάντια τούτοις, καὶ ὅλως εὐτυχίαν, καὶ δυστυχίαν. Οἱ μὲν οὖν νέοι, [4] τὰ ἤθη εἰσὶν ἐπιθυμητικοὶ, καὶ οἷοι ποιεῖν ὧν ἂν ἐπιθυμήσωσι· καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν, μάλιστα ἀκολουθητικοί εἰσι ταῖς περὶ τὰ ἀφροδίσια, καὶ ἀκρατεῖς ταύτης· [5] εὐμετάβολοι δὲ καὶ ἁψίκοροι πρὸς

τὰς ἐπιθυμίας· καὶ σφόδρα μὲν ἐπιθυμοῦσι, ταχὺ δὲ παύονται· ὀξεῖαι γὰρ αἱ βουλήσεις, καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι. Καὶ θυμικοὶ, καὶ ὀξύθυμοι, καὶ οἷοι ἀκολουθεῖν τῇ ὁρμῇ· καὶ [1]ἥττους εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ᾽ ἀγανακτοῦσιν, ἂν οἴωνται ἀδικεῖσθαι. Καὶ φιλότιμοι μέν εἰσι, μᾶλλον δὲ φιλόνικοι· ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης· ἡ δὲ νίκη, ὑπεροχή τις· καὶ [2]ἄμφω ταῦτα μᾶλλον, ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ ἥκιστα, διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι, ὥσπερ τὸ [3]Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. Καὶ οὐ κακοήθεις, ἀλλ᾽ εὐήθεις, διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας. Καὶ εὔπιστοι, διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. Καὶ εὐέλπιδες· ὥσπερ γὰρ οἱ οἰνούμενοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μήπω πολλὰ ἀποτετυχηκέναι· καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς, τοῦ μέλλοντός ἐστιν· ἡ δὲ μνήμη, τοῦ παροιχομένου· τοῖς δὲ νέοις, τὸ μὲν μέλλον, πολύ· τὸ δὲ παρεληλυθὸς, βραχύ· [4]τῇ γὰρ πρώτῃ ἡμέρᾳ, μεμνῆσθαι μὲν οὐδὲν οἴονται, ἐλπίζειν δ᾽ πάντα. Καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. Καὶ ἀνδρειότεροι· θυμώδεις γὰρ καὶ εὐέλπιδες· ὧν, τὸ μὲν, μὴ φοβεῖσθαι· τὸ δὲ, θαῤῥεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται· τό τε ἐλπίζειν ἀγαθόν τι, θαῤῥαλέον ἐστί. Καὶ αἰσχυντηλοί· [5]οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται [6]ὑπὸ τοῦ νόμου μόνον. Καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου οὔπω τεταπείνωνται, ἀλλὰ τῶν [7]ἀναγκαίων ἄπειροί εἰσι· καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων, μεγαλοψυχία· τοῦτο δ᾽, εὐέλπιδος. Καὶ μᾶλλον αἱροῦνται πράττειν [8]τὰ καλὰ,

τῶν συμφερόντων· [1]τῷ γὰρ ἤθει ζῶσι μᾶλλον, ἢ τῷ λογισμῷ· ἔστι δ' ὁ μὲν λογισμὸς τοῦ συμφέροντος· ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. Καὶ φιλόφιλοι, καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν, διὰ τὸ χαίρειν [2]τῷ συζῆν, καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν· ὥστε μηδὲ τοὺς φίλους. Καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι, [3]παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσι· φιλοῦσί τε γὰρ ἄγαν, καὶ μισοῦσιν ἄγαν, καὶ τἄλλα πάντα ὁμοίως· οἳ καὶ εἰδέναι πάντα οἴονται, καὶ [4]διϊσχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστι καὶ τοῦ πάντα ἄγαν. Καὶ [5]τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, καὶ οὐ κακουργίαν. Καὶ ἐλεητικοὶ, διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὐτῶν ἀκακίᾳ [6]τοὺς πέλας μετροῦσιν· ὥστ' ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. Καὶ φιλογέλωτες· διὸ καὶ εὐτράπελοι· [7]ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστί. Τὸ μὲν οὖν τῶν νέων, τοιοῦτον ἦθός ἐστιν.

ΚΕΦ. ιγ'.

Περὶ παθῶν, καὶ ἕξεων τῶν πρεσβυτέρων.

Οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες, σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη· διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι, καὶ πλείω ἐξηπατῆσθαι καὶ ἡμαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, [8]οὔτε διαβεβαιοῦνται οὐδέν· καὶ ἧττόν τε ἄγαν ἅπαντα, ἢ δεῖ. Καὶ οἴονται, ἴσασι δὲ οὐδέν· καὶ ἀμφισβητοῦντες, προστιθέασιν ἀεὶ τὸ "ἴσως καὶ τάχα·" καὶ πάντα λέγουσιν οὕτω· παγίως δὲ, οὐδέν. Καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια, τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν ἅπαντα. Ἔτι δὲ [9]καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν· ἄπιστοι δὲ,

δι' ἐμπειρίαν. Καὶ οὔτε φιλοῦσι σφόδρα, οὔτε μισοῦσι διὰ ταῦτα· ἀλλὰ κατὰ τὴν [1]Βίαντος ὑποθήκην, καὶ φιλοῦσιν ὡς μισήσοντες, καὶ μισοῦσιν ὡς φιλήσοντες. Καὶ μικρόψυχοι, διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου, οὐδὲ περιττοῦ, ἀλλὰ [2]τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσι. Καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία· ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν, ὡς χαλεπὸν τὸ κτήσασθαι, καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. Καὶ δειλοὶ, καὶ πάντα προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυγμένοι γάρ εἰσιν· οἱ δὲ, θερμοί· ὥστε προωδοποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος κατάψυξίς τίς ἐστι. Καὶ φιλόζωοι, καὶ μάλιστα ἐπὶ [3]τῇ τελευταίᾳ ἡμέρᾳ, διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν· καὶ οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμοῦσι. Καὶ φίλαυτοι μᾶλλον ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. Καὶ πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλὸν, μᾶλλον ἢ δεῖ, διὰ τὸ φίλαυτοι εἶναι· τὸ μὲν γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι· τὸ δὲ καλὸν, [4]ἁπλῶς. Καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί· διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ τοῦ συμφέροντος, ὀλιγωροῦσι τοῦ δοκεῖν. Καὶ δυσέλπιδες, διὰ τὴν ἐμπειρίαν—τὰ γὰρ πλεῖστα τῶν πραγμάτων φαῦλά ἐστιν· ἀποβαίνει γοῦν τὰ πολλὰ ἐπὶ τὸ χεῖρον—καὶ ἔτι διὰ τὴν δειλίαν· καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον, ἢ τῇ ἐλπίδι· τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον· τὸ δὲ παρεληλυθὸς πολύ· ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος· ἡ δὲ μνήμη τῶν παροιχομένων. Ὅπερ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· [5]διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. Καὶ οἱ θυμοὶ, ὀξεῖς μέν εἰσιν, ἀσθενεῖς δέ. Καὶ αἱ ἐπιθυμίαι, αἱ μὲν ἐκλελοίπασιν, αἱ δὲ

ἀσθενεῖς· ὥστε οὔτε ἐπιθυμητικοὶ, οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος· διὸ καὶ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι, καὶ δουλεύουσι τῷ κέρδει. Καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν, ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς, τοῦ συμφέροντος· τὸ δὲ ἦθος, τῆς ἀρετῆς ἐστι. Καὶ τἀδικήματα ἀδικοῦσιν εἰς κακουργίαν, οὐκ εἰς ὕβριν. Ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ᾽ οὐ διὰ ταὐτὸ τοῖς νέοις· οἱ μὲν γὰρ δια φιλανθρωπίαν· οἱ δὲ δι᾽ ἀσθένειαν· [1]πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν· τοῦτο δ᾽ ἦν ἐλεητικοῦ· ὅθεν, ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι, οὐδὲ φιλογέλοιοι· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι. Τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα.

ΚΕΦ. ιδ΄.

Περὶ ἠθῶν τῆς ἀκμαζούσης ἡλικίας.

Οἱ δὲ ἀκμάζοντες, φανερὸν ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται, ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν. Καὶ οὔτε σφόδρα θαῤῥοῦντες· [2]θρασύτης γὰρ τὸ τοιοῦτον· οὔτε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον. Καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον, οὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω. Καὶ οὔτε πρὸς φειδὼ, οὔτε πρὸς ἀσωτίαν, ἀλλὰ πρὸς τὸ ἁρμόττον· ὁμοίως δὲ καὶ πρὸς θυμὸν, καὶ πρὸς ἐπιθυμίαν. Καὶ σώφρονες μετὰ ἀνδρείας καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης· ἐν γὰρ τοῖς νέοις, καὶ τοῖς γέρουσι διῄρηται ταῦτα· εἰσὶ γὰρ οἱ μὲν νέοι, ἀνδρεῖοι καὶ ἀκόλαστοι·

οἱ δὲ πρεσβύτεροι, σώφρονες καὶ δειλοί. Ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διῄρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν· ὅσα δὲ ὑπερβάλλουσιν, ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. Ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα· ἡ δὲ ψυχὴ, [1]περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα. Περὶ μὲν οὖν νεότητος, καὶ γήρως, καὶ ἀκμῆς, ποίων ἠθῶν ἐστιν ἕκαστον, εἰρήσθω τοσαῦτα.

ΚΕΦ. ιέ.

Τὸ τῶν εὐγενῶν ἦθος ποῖον.

Περὶ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν, [2]δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποῖα ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἐφεξῆς. Εὐγενείας μὲν οὖν ἦθός ἐστι, τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν· πάντες γὰρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν· [3]ἡ δὲ εὐγένεια, ἐντιμότης τις προγόνων ἐστί· καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων τοῖς προγόνοις τοῖς αὐτῶν· [4]διότι πόῤῥω ταῦτα μᾶλλον ἢ ἐγγὺς γιγνόμενα, ἐντιμότερα εἶναι καὶ [5]εὐαλαζόνευτα. Ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρετήν· [6]γενναῖον δὲ κατὰ τὸ μὴ ἐξίστασθαι ἐκ τῆς φύσεως· ὅπερ ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγένεσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτελεῖς· φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν, ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις· καὶ ἐνίοτε ἂν ᾖ ἀγαθὸν τὸ γένος, ἐγγίνονται διά τινος χρόνου ἄνδρες περιττοί· κἄπειτα [7]πάλιν ἀναδίδωσιν. Ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη· οἷον [8]οἱ ἀπ' Ἀλκιβιάδου, καὶ οἱ ἀπὸ Διονυ-

σίου τοῦ προτέρου· τὰ δὲ [1]στάσιμα εἰς ἀβελτερίαν καὶ νωθρότητα· οἷον οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους.

ΚΕΦ. ιϛʹ.

Τῷ πλούτῳ ἃ ἕπεται ἤθη.

Τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἐστιν ἰδεῖν ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, [2]πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ, οὕτω διάκεινται· ὁ γὰρ πλοῦτος οἷον τιμή τίς ἐστι τῆς ἀξίας τῶν ἄλλων· διὸ φαίνεται πάντα ὤνια εἶναι αὐτοῦ· καὶ τρυφεροὶ, [3]καὶ σαλάκωνες· τρυφεροὶ μὲν, διά τε τὴν τρυφὴν καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας· σαλάκωνες δὲ καὶ [4]σόλοικοι, διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν·—καὶ [5]τὸ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί· ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσι· πολλοὶ γάρ εἰσιν [6]οἱ δεόμενοι τῶν ἐχόντων· ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τοῦ Ἱέρωνος, ἐρομένην, "Πότερον γενέσθαι κρεῖττον, πλούσιον, ἢ σοφὸν," "Πλούσιον" εἰπεῖν· "τοὺς γὰρ σοφοὺς ὁρᾷν ἐπὶ ταῖς τῶν πλουσίων θύραις," ἔφη, "διατρίβοντας·"—καὶ [7]τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται, ὧν ἕνεκεν ἄξιον ἄρχειν. Καὶ [8]ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθους ὁ πλοῦτός ἐστι. Διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις, καὶ τοῖς πάλαι, τὰ ἤθη, τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι. Καὶ ἀδικήματα

ἀδικοῦσιν οὐ κακουργικὰ, ἀλλὰ τὰ μὲν ὑβριστικὰ, τὰ δὲ, ἀκρατευτικά· οἷον, εἰς αἰκείαν καὶ μοιχείαν.

ΚΕΦ. ιζ.

Τίνα τῶν δυνατῶν καὶ εὐτυχῶν ἤθη.

Ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη· τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει ἡ δύναμις τῷ πλούτῳ· τὰ δὲ βελτίω· φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέστεροί εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων, [1]διὰ τὸ ἐφίεσθαι ἔργων, ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν. Καὶ σπουδαστικώτεροι, διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζόμενοι σκοπεῖν τὰ περὶ τὴν δύναμιν. [2]Καὶ σεμνότεροι ἢ βαρύτεροι· ποιεῖ γὰρ [3]ἐμφανεστέρους τὸ ἀξίωμα· διὸ μετριάζουσιν· ἔστι δὲ ἡ σεμνότης, [4]μαλακὴ καὶ εὐσχήμων βαρύτης. Καὶ ἐὰν ἀδικῶσιν, οὐ [5]μικραδικηταί εἰσιν, ἀλλὰ μεγαλάδικοι. [6]Ἡ δ᾽ εὐτυχία τὰ μόρια ἔχει τῶν εἰρημένων τὰ ἤθη· εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσιν εἶναι εὐτυχίαι. Καὶ ἔτι εἰς εὐτεκνίαν, καὶ τὰ [7]κατὰ τὸ σῶμα ἀγαθὰ, παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. Ὑπερηφανώτεροι μὲν οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν. [8]Ἓν δ᾽ ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτε φιλόθεοί εἰσι, καὶ ἔχουσι πρὸς τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀγαθὰ ἀπὸ τῆς τύχης. Περὶ μὲν οὖν τῶν καθ᾽ ἡλικίαν καὶ τύχην ἠθῶν, εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν· οἷον, πένητος καὶ ἀτυχοῦς ἦθος, καὶ ἀδυνάτου.

ΚΕΦ. κ'.

Περὶ παραδειγμάτων, πόσα εἴδη, καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον.

* * *

Παραδειγμάτων δὲ εἴδη δύο ἐστίν· ἓν μὲν γάρ ἐστι παραδείγματος εἶδος, τὸ λέγειν πράγματα προγεγενημένα· ἓν δὲ, [1]τὸ αὐτὸν ποιεῖν· τούτου δὲ, ἓν μὲν, παραβολή· ἓν δὲ, λόγοι, οἷον οἱ Αἰσώπειοι, καὶ Λιβυκοί. Ἔστι δὲ τὸ μὲν παράδειγμα τοιόνδέ τι, ὥσπερ εἴ τις λέγοι, Ὅτι δεῖ [2]πρὸς βασιλέα παρασκευάζεσθαι, καὶ μὴ ἐᾷν Αἴγυπτον χειρώσασθαι· καὶ γὰρ πρότερον Δαρεῖος, οὐ πρότερον διέβη, πρὶν Αἴγυπτον λαβεῖν· λαβὼν δὲ, διέβη· καὶ πάλιν, Ξέρξης οὐ πρότερον [3]ἐπεχείρησε, πρὶν ἢ ἔλαβε· λαβὼν δὲ, διέβη· ὥστε καὶ οὗτος, ἂν λάβῃ, διαβήσεται· διὸ οὐκ ἐπιτρεπτέον. Παραβολὴ δὲ, τὰ Σωκρατικά· οἷον εἴ τις λέγοι, Ὅτι [4]οὐ δεῖ τοὺς κληρωτοὺς ἄρχειν· ὅμοιον γὰρ, ὥσπερ εἴ τις τοὺς ἀθλητὰς κληροίη, μὴ οἳ ἂν δύνωνται ἀγωνίζεσθαι, ἀλλ' οἳ ἂν λάχωσιν· [5]ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾷν κληρώσειεν, ὡς δέον τὸν λαχόντα, ἀλλὰ μὴ τὸν ἐπιστάμενον. Λόγος δὲ, οἷος ὁ Στησιχόρου πρὸς Φάλαριν, καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ· Στησίχορος μὲν γὰρ, ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν, καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἄλλα διαλεχθεὶς, εἶπεν αὐτοῖς λόγον, [6]Ὡς "ἵππος κατεῖχε λειμῶνα μόνος· ἐλθόντος δ' ἐλάφου, καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον· ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν, ἔχων ἀκόντια· συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ

τοῦ τιμωρήσασθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ. Οὕτω δὲ καὶ ὑμεῖς," ἔφη, "ὁρᾶτε, μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι, ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἤδη ἔχετε, ἑλόμενοι στράτηγον αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι." Αἴσωπος δὲ, ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη, "Ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα· οὐ δυναμένην δὲ ἐκβῆναι, πολὺν χρόνον κακοπαθεῖν,[1] καὶ κυνοῤῥαιστὰς πολλοὺς ἔχεσθαι αὐτῆς. Ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτὴν, κατοικτείραντα ἐρωτᾷν, εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοῤῥαιστάς· τὴν δὲ οὐκ ἐᾷν· ἐρομένου δὲ διὰ τί, φάναι, ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ, καὶ ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. Ἀτὰρ οὖν καὶ ὑμᾶς," ἔφη, "ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάπτει· πλούσιος γάρ ἐστιν· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες." [2]Εἰσὶ δ' οἱ λόγοι δημηγορικοὶ, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα, χαλεπόν· λόγους δὲ ῥᾷον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολὰς, ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾷν, [3]ὅπερ ῥᾷόν ἐστιν ἐκ φιλοσοφίας. Ῥᾴω μὲν οὖν πορίσασθαι, τὰ διὰ τῶν λόγων· χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι, τὰ διὰ τῶν πραγμάτων· ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσι.

* * *

FINIS EXCERPTORUM PHILOSOPHICORUM.

I.

[1] Ex THEOPHRASTO.

Quis Aristotele nervosior? THEOPHRASTO dulcior?
CICERO IN BRUTO.

[2] ΘΕΟΦΡΑΣΤΟΥ

ἨΘΙΚΟΙ ΧΑΡΑΚΤΗΡΕΣ.

[AD EDIT. JO. GOTTL. SCHNEIDER. IENAC. 1799.]

ΠΡΟΟΙΜΙΟΝ.

[3] Ἤδη μὲν καὶ πρότερον πολλάκις [3] ἐπιστήσας τὴν διάνοιαν, ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων, [4] τί δήποτε τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ [5] τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. Ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας ἐκ πολλοῦ χρόνου τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους· ὑπέλαβον δεῖν συγγράψαι ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν

τῷ βίῳ. [1]Ἐκθήσω δέ σοι κατὰ γένος ὅσα τε τυγχάνει γένη τρόπων, τούτοις προσκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. Ὑπολαμβάνω γὰρ, ὦ Πολύκλεις, τοὺς υἱεῖς ἡμῶν* βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων· οἷς παραδείγμασι χρώμενοι, αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. Τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον· σὸν δὲ, παρακολουθῆσαί τε καὶ εἰδῆσαι, εἰ ὀρθῶς λέγω. Πρῶτον μὲν οὖν [2]ποιήσομαι τὸν λόγον [3]ἀπὸ τῶν τὴν εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι, καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. Καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας, καὶ ὁριοῦμαι αὐτήν· εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποῖός τις ἐστὶ, [4]καὶ εἰς τίνα τρόπον κατενήνεκται· καὶ [5]τὰ ἄλλα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ γένος φανερὰ καταστῆσαι.

α'. ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, [6]ὡς τύπῳ λαβεῖν, [7]προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων. Ὁ δὲ εἴρων, [8]τοιοῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, οὐ μισεῖν· καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ τούτοις συλλυπεῖσθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν λέγουσι· καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις, καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πρᾴως διαλέγεσθαι· [9]καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις, προστάξαι ἐπανελθεῖν· [10]καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι, καὶ αὐτὸν μαλακισθῆναι· καὶ μηδὲν ὧν πράττει,

* Schneider. ὑμῶν, quia Theophrasti liberorum nulla mentio in testamento apud Laertium. Nimis acute.

ὁμολογῆσαι, ἀλλὰ φῆσαι βουλεύσεσθαι· καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ· καὶ μὴ πωλῶν, φήσει πωλεῖν· καὶ ἀκούσας τι, [1]δόξει μὴ προσποιεῖσθαι· καὶ ἰδὼν, φήσει μὴ ἑωρακέναι· καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι· καὶ τὰ μὲν ἐσκέφθαι φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δὲ ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι· καὶ τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, Οὐ πιστεύω, Οὐχ ὑπολαμβάνω, Ἐκπλήττομαι· καὶ λέγει ἑαυτὸν ἕτερον γεγονέναι· καὶ μὴν [2]οὐ ταυτὰ πρὸς ἐμὲ διεξῄει· παράδοξόν μοι τὸ πρᾶγμα, ἄλλῳ τινὶ λέγε· ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀπορούμαι—Ἀλλ' ὅρα μὴ σὺ θᾶττον πιστεύῃς τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας· οὗ χεῖρόν ἐστιν εὑρεῖν οὐδέν· τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα, φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.

β'. ΠΕΡΙ ΚΟΛΑΚΕΙΑΣ.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι· τὸν δ' κόλακα τοιοῦτόν τινα, ὥστε πορευόμενον ἅμα εἰπεῖν, Ἐνθυμῇ ὡς ἀποβλέπουσι πρός σε οἱ ἄνθρωποι; τοῦτο οὐθενὶ τῶν ἐν τῇ πόλει γίνεται, πλὴν σοί· ηὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ· πλειόνων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου τίς εἴη βέλτιστος, [3]ἀπ' αὐτοῦ ἀρξαμένους πάντας, ἐπὶ τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι· καὶ ἄλλα τοιαῦτα λέγειν· Ἀπὸ τοῦ ἱματίου [4]ἀφελεῖν κροκίδα· καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἀπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι· καὶ ἐπι-

γελάσας δὲ εἰπεῖν, Ὁρᾷς; ὅτι δυεῖν σοι ἡμερῶν οὐκ ἐντετύχηκα, [1]πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν· καίπερ, εἴ τις καὶ ἄλλος, ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα. Καὶ λέγοντος δὲ αὐτοῦ τι, τοὺς ἄλλους σιωπᾷν κελεῦσαι, καὶ ἐπαινέσαι δὲ ἀκούοντος· καὶ ἐπισημήνασθαι δὲ, εἰ παύσεται, Ὀρθῶς. [2]Καὶ σκώψαντι ψυχρῶς ἐπιγελάσαι, τό τε ἱμάτιον ὦσαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν τὸν γέλωτα· καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι ἕως ἂν Αὐτὸς παρέλθῃ. Καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος, εἰσενέγκας δοῦναι, ὁρῶντος αὐτοῦ· καὶ φιλήσας δὲ εἰπεῖν, χρηστοῦ πατρὸς νόττια. Καὶ συνωνούμενος δὲ κρηπῖδας, τὸν πόδα φῆσαι εἶναι εὐρυθμότερον τοῦ ὑποδήματος· καὶ πορευομένου πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι Πρός σε ἔρχεται· καὶ ἀναστρέψας, ὅτι Προσήγγελκα. [3]Ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευστί· καὶ τῶν ἑστιωμένων, πρῶτος ἐπαινέσαι τὸν οἶνον· [4]καὶ παραμένων εἰπεῖν, Ὡς μαλακῶς ἑστιᾷς. Καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης, φῆσαι, Τουτὶ ἄρα ὡς χρηστόν ἐστι· καὶ ἐρωτῆσαι μὴ ῥιγοῖ, καὶ εἰ ἐπιβάλλεσθαι βούλεται, καὶ ἔτι περιστεῖλαι αὐτόν· καὶ μὴν ταῦτα λέγων, πρὸς τὸ οὖς προσπίπτων ψιθυρίζειν· καὶ εἰς ἐκεῖνον ἀποβλέπων, τοῖς ἄλλοις λαλεῖν. [5]Καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια, αὐτὸς ὑποστρῶσαι. Καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι. Καὶ τὸ κεφάλαιον, τὸν κόλακά ἐστι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράττοντα οἷς χαριεῖσθαι ὑπολαμβάνει.

γ'. ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

Ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων· ὁ δὲ ἀδολέσχης, τοιοῦτός ἐστιν, οἷος ὃν μὴ γινώσκει, τούτῳ παρακαθεζόμενος [πλησίον], πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα, ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν. Εἶτα δὴ προχωροῦντος τοῦ πράγματος, λέγειν ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι· καὶ τὴν θάλατταν [2]ἐκ Διονυσίων πλώϊμον εἶναι· καὶ, εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι· καὶ, ὅτι ἀγρὸν εἰς [3]νέωτα γεωργήσει· καὶ, ὡς χαλεπόν ἐστι τὸ ζῆν· καὶ, ὡς Δάμιππος μυστηρίοις [4]μεγίστην δᾷδα ἔστησε· καὶ, Πόσοι εἰσὶ κίονες τοῦ [5]Ὠδείου, καὶ, Χθὲς ἤμεσα· καὶ, Τίς ἐστιν ἡμέρα σήμερον; κἂν ὑπομένῃ τὶς αὐτὸν, μὴ ἀφίστασθαι· καὶ, ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ [6]μυστήρια, Πυανεψιῶνος δὲ Ἀπατούρια, Ποσειδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια. [7]Παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ [8]διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι· [9]ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν μήτε σπουδὴν διαγινώσκουσιν.

* * *

ιβ'. [10]ΠΕΡΙ ΑΚΑΙΡΙΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία ἔστιν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχάνοντας· ὁ δὲ ἄκαιρος, τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι, καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην

κωμάζειν πυρέττουσαν· καὶ [1]δίκην ὠφληκότα ἐγγύης προσελθὼν, κελεῦσαι αὐτὸν ἀναδέξασθαι· καὶ μαρτυρήσων παρεῖναι, τοῦ πράγματος ἤδη κεκριμένου· καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν· καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. [2]Δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. Καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων· καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι ἃ μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι· καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων· καὶ μαστιγουμένου οἰκέτου παρεστὼς, διηγεῖσθαι ὅτι καὶ αὐτοῦ ποτὲ παῖς οὕτω πληγὰς λαβὼν ἀπήγξατο· [3]καὶ παρὼν διαίτῃ, συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι· καὶ ὀρχησόμενος ἅψασθαι ἑταίρου μηδέπω μεθύοντος.

* * *

ιϛʹ. [4]ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

[5]Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν εἶναι δειλία πρὸς τὸ δαιμόνιον. Ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος ἀπονιψάμενος τὰς χεῖρας, καὶ [6]περιῤῥανάμενος ἀπὸ ἱεροῦ, δάφνης εἰς τὸ στόμα λαβὼν, οὕτω τὴν ἡμέραν περιπατεῖν· καὶ τὴν ὁδὸν ἐὰν παραδάμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τὶς, ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ· καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἱερὸν ἐνταῦθα ἱδρύσασθαι· καὶ τῶν [7]λιπαρῶν λίθων, τῶν ἐν ταῖς τριόδοις, παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν· καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας, ἀπαλλάττεσθαι· καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾷν, τί χρὴ ποιεῖν· καὶ ἐὰν ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἀποῤῥάψαι, μὴ προσέχων τούτοις, ἀλλ' ἀποτραπεὶς, [8]ἐκθύσασθαι· καὶ πυκνὰ δὲ τὴν

οἰκίαν καθᾶραι δεινὸς, Ἑκάτης φάσκων ἐπαγωγὴν γεγονέναι· κἂν γλαῦκα βαδίζοντος αὐτοῦ (διίπτασθαι τύχῃ) ταράττεσθαι, καὶ εἰπὼν, Ἀθηνᾶ κρείττω, παρελθεῖν οὕτω· καὶ οὔτε μνήματι ἐπιβῆναι, οὔτε ἐπὶ νεκρὸν, οὔτε ἐπὶ [1]λεχὼ ἐλθεῖν ἐθελῆσαι· καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ εὔχεσθαι δεῖ· καὶ [2]τελεσθησόμενος, πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός· ἐὰν δὲ μὴ σχολάζῃ γυνὴ, μετὰ τῆς τιτθῆς καὶ τῶν παιδίων· καὶ ἄν ποτε ἐπίδῃ σκορόδων ἐσθίοντα τῶν ἐπὶ ταῖς τριόδοις, ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι· [3]καὶ ἱερείας καλέσας, σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθῆραι. Μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας [4]εἰς κόλπον πτύσαι.

* * *

κα΄. [5]ΠΕΡΙ ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος. Ὁ δὲ μικροφιλότιμος, τοιοῦτός τις, οἷός σπουδάσαι, ἐπὶ δεῖπνον κληθεὶς, παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι· [6]καὶ τὸν υἱὸν ἀποκεῖραι ἀναγαγὼν εἰς Δελφούς· καὶ ἐπιμεληθῆναι δὲ ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται· [7]καὶ ἀποδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι· καὶ βοῦν θύσας, [8]τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν ὅτι βοῦν ἔθυσε· καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα ἀποδοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ [9]θοιμάτιον ἐν ταῖς μύωψι, εἰς τὴν ἀγορὰν περιπατεῖν· καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα ποιῆσαι· καὶ στηλίδιον ποιήσας, [10]ΚΛΑΔΟΣ ΜΕΛΙΤΑΙΟΣ, καὶ [11]ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ Ἀσκληπείῳ, τοῦτον ἐκτρίβειν στεφανῶν, καὶ ἀλείφειν ὁσημέραι. Ἀμέλει δὲ καὶ [12]συνδιοικήσασθαι παρὰ τῶν πρυτάνεων, ὅπως

ἀπαγγέλλῃ τῷ δήμῳ τὰ ἱερά· καὶ παρασκευασαμένος λαμπρὸν ἱμάτιον, καὶ ἐστεφανωμένος, παρελθὼν εἰπεῖν, Ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τῇ μητρὶ τῶν θεῶν· καὶ τὰ μὲν ἱερὰ ἄξια καὶ καλά· καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά· καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ, ὡς καθ' ὑπερβολὴν εὐημερεῖ.

ANALECTA GRÆCA MAJORA.

TOMI PRIORIS

PARS QUARTA.

EXCERPTA MISCELLANEA.

III.

[1]E LONGINO.

[AD EDIT. JOANNIS TOUPII. OXON. 1778. in 4to.]

---

[2]'ΕΚ ΤΟΥ

ΔΙΟΝΥΣΙΟΥ ΛΟΓΓΙΝΟΥ

ΠΕΡΙ

ΥΨΟΥΣ.

Ἡ—τῶν λόγων κρίσις πολλῆς ἐστι πείρας τελευταῖον ἐπιγέννημα.
ΠΕΡΙ ῞ΥΨ. § VI.

---

§ I.

* * *

—[3]'ΑΚΡΟΤΗΣ καὶ ἐξοχή τις λόγων ἐστὶ τὰ ὕψη· καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ συγγραφέων οὐκ ἄλλοθεν ἢ ἐνθένδε πόθεν ἐπρώτευσαν, [4]καὶ ταῖς ἑαυτῶν περιέλαβον εὐκλείαις τὸν αἰῶνα. Οὐ γὰρ εἰς πειθὼ τοὺς ἀκροωμένους, ἀλλ' εἰς ἔκστασιν ἄγει [5]τὰ ὑπερφυᾶ· [6]πάντη δέ γε σὺν ἐκπλήξει τοῦ πιθανοῦ καὶ τοῦ πρὸς χάριν [7]ἀεὶ κρατεῖ τὸ θαυμάσιον· εἴγε τὸ μὲν πιθανὸν ὡς τὰ πολλὰ ἐφ' ἡμῖν· ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον

προσφέροντα, παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται. Καὶ τὴν μὲν ἐμπειρίαν τῆς εὑρέσεως, καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονομίαν οὐκ ἐξ ἑνὸς, οὐδ' ἐκ δυοῖν, ἐκ δὲ τοῦ ὅλου τῶν λόγων ὕφους μόλις ἐκφαινομένην ὁρῶμεν· [1] ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν, καὶ τὴν τοῦ ῥήτορος εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν. * * *

* * *

§ VII.

Εἰδέναι χρὴ, φίλτατε, διότι, καθάπερ κἀν τῷ κοινῷ βίῳ οὐδὲν ὑπάρχει μέγα, οὗ τὸ καταφρονεῖν ἐστιν μέγα· οἷον πλοῦτοι, τιμαὶ, δόξαι, τυραννίδες, καὶ ὅσα δὴ ἄλλα ἔχει πολὺ τὸ ἔξωθεν προστραγῳδούμενον, οὐκ ἂν τῷ γε φρονίμῳ δόξειεν ἀγαθὰ ὑπερβάλλοντα, ὧν αὐτὸ τὸ περιφρονεῖν ἀγαθὸν οὐ μέτριον· [2] θαυμάζουσι γοῦν τῶν ἐχόντων αὐτὰ μᾶλλον τοὺς δυναμένους ἔχειν, καὶ διὰ μεγαλοψυχίαν ὑπερορῶντας. [3] Τῇ δέ που καὶ ἐπὶ τῶν διηρμένων ἐν ποιήμασι καὶ λόγοις ἐπισκεπτέον, μή τινα μεγέθους φαντασίαν [4] ἔχῃ τοιαύτην, ᾗ πολὺ πρόσκειται τὸ εἰκῇ προσαναπλαττόμενον, ἀναπτυσσόμενα δὲ ἄλλως εὑρίσκοιτο χαῦνα, ὧν τοῦ θαυμάζειν τὸ περιφρονεῖν εὐγενέστερον. Φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ ψυχὴ, καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς καὶ μεγαλαυχίας, ὡς αὐτὴ γεννήσασα ὅπερ ἤκουσεν. Ὅταν οὖν ὑπ' ἀνδρὸς ἔμφρονος καὶ ἐμπείρου λόγων πολλάκις ἀκουόμενόν τι πρὸς μεγαλοφροσύνην τὴν ψυχὴν μὴ συνδιατιθῇ, μήδ' ἐγκαταλείπῃ τῇ διανοίᾳ πλεῖον τοῦ λεγομένου τὸ ἀναθεωρούμενον, πίπτῃ δ', ἂν τὸ συνεχὲς ἐπισκοπῇ, εἰς ἀπαύξησιν· οὐκ ἂν ἔτ' ἀληθὲς ὕψος εἴη, μέχρι μόνης τῆς ἀκοῆς σωζό-

μενον. Τοῦτο γὰρ τῷ ὄντι μέγα, οὗ πολλὴ μὲν ἡ ἀναθεώρησις, δύσκολος δὲ, μᾶλλον δ' [1]ἀδύνατος ἡ κατεξανάστασις· ἰσχυρὰ δὲ ἡ μνήμη καὶ δυσεξάλειπτος. Ὅλως καὶ καλὰ νόμιζε ὕψη καὶ ἀληθινὰ τὰ διὰ παντὸς ἀρέσκοντα καὶ πᾶσιν· [2]ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων, βίων, ζήλων, ἡλικιῶν, λόγων, ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν δοκῇ, τόθ' ἡ ἐξ ἀσυμφώνων, [3]ὡς κρίσις καὶ συγκατάθεσις τὴν ἐπὶ τῷ θαυμαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.

§ VIII.

Ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται,—προϋποκειμένης, ὥσπερ ἐδάφους τινὸς κοινοῦ, ταῖς πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐδὲν,—πρῶτον μὲν καὶ κράτιστον, [4]τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον, ὡς κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα· δεύτερον δὲ, τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος· ἀλλ' αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ πλέον αὐθιγενεῖς συστάσεις, αἱ λοιπαὶ δ' ἤδη καὶ διὰ τέχνης· [5]ἥ τε ποιὰ τῶν σχημάτων πλάσις·—[6]δισσὰ δέ που ταῦτα, τὰ μὲν νοήσεως, θάτερα δὲ λέξεως·—ἐπὶ δὲ τούτοις [7]ἡ γενναία φράσις, ἧς μέρη πάλιν ὀνομάτων τε ἐκλογὴ, καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις· πέμπτη δὲ μεγέθους αἰτία, καὶ συγκλείουσα τὰ πρὸ ἑαυτῆς ἅπαντα, ἡ ἐν ἀξιώματι καὶ διάρσει σύνθεσις· φέρε δὴ, τὰ ἐμπεριεχόμενα καθ' ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Καικίλιός [8]ἐστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος ἀμέλει. [9]Ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ παθητικὸν, καὶ ἔδοξεν αὐτῷ πάντῃ συνυπάρχειν τε ἀλλή-

λοις καὶ συμπεφυκέναι, διαμαρτάνει· καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι, λύπαι, φόβοι· καὶ ἔμπαλιν πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ τοὺς [1] Ἀλωάδας τῷ Ποιητῇ παρατετολμημένα,

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Καὶ τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον,

Καί νύ κεν ἐξετέλεσσαν.——

Παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια, καὶ τὰ πομπικὰ, καὶ ἐπιδεικτικὰ, τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πάθους καὶ χηρεύει κατὰ τὸ πλεῖστον· ὅθεν ἥκιστα τῶν ῥητόρων οἱ περιπαθεῖς ἐγκωμιαστικοὶ, ἢ ἔμπαλιν οἱ ἐπαινετικοὶ περιπαθεῖς. Εἰ δ' αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ὁ Καικίλιος τὸ ἐμπαθὲς εἰς τὰ ὕψη ποτὲ συντελεῖν, καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διηπάτηται· θαῤῥῶν γὰρ ἀφορισαίμην ἂν, ὡς οὐδὲν οὕτως, ὡς τὸ γενναῖον πάθος, ἔνθα χρὴ, μεγαλήγορον, ὥσπερ ὑπὸ μανίας τινὸς καὶ πνεύματος ἐνθουσιαστικῶς ἐκπνέον, [2] καὶ οἱονεὶ φοιβάζον τοὺς λόγους.

§ IX.

[3] Οὐ μὴν ἀλλ', ἐπεὶ τὴν κρατίστην μοῖραν ἐπέχει τῶν ἄλλων τὸ πρῶτον, λέγω δὲ τὸ μεγαλοφυὲς, χρὴ κἀνταῦθα, εἰ καὶ δωρητὸν τὸ πρᾶγμα μᾶλλον ἢ κτητὸν, ὅμως, καθ' ὅσον οἷόν τε, τὰς ψυχὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη, καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν γενναίου παραστήματος. Τίνα, φήσεις, τρόπον; γέγραφά που καὶ ἑτέ-

ρωθι, ὅτι τὸ τοιοῦτον ὕψος μεγαλοφροσύνης ἀπήχημα. Ὅθεν καὶ φωνῆς δίχα θαυμάζεταί ποτε ψιλὴ καθ᾽ ἑαυτὴν ἡ ἔννοια δι᾽ αὐτὸ τὸ μεγαλόφρον· ὡς ἡ τοῦ Αἴαντος [1] ἐν Νεκυίᾳ σιωπὴ μέγα καὶ παντὸς ὑψηλότερον λόγου. Πρῶτον οὖν τὸ, ἐξ οὗ γίνεται, προϋποτίθεσθαι πάντως ἀναγκαῖον· ὡς ἔχειν δεῖ τὸν ἀληθῆ ῥήτορα μὴ ταπεινὸν φρόνημα καὶ ἀγεννές· οὐδὲ γὰρ οἷόντε μικρὰ καὶ δουλοπρεπῆ φρονοῦντας καὶ ἐπιτηδεύοντας παρ᾽ ὅλον τὸν βίον θαυμαστόν τι καὶ τοῦ παντὸς αἰῶνος ἐξενεγκεῖν ἄξιον· μεγάλοι δὲ οἱ λόγοι τούτων κατὰ τὸ εἰκὸς, ὧν ἂν ἐμβριθεῖς ὦσιν αἱ ἔννοιαι. Ταύτῃ καὶ εἰς τοὺς μάλιστα φρονηματίας ἐμπίπτει τὰ ὑπερφυᾶ· ὁ γὰρ τῷ Παρμενίωνι φήσαντι, "[2] Ἐγὼ μὲν ἂν ἠρκέσθην, [3] εἰ Ἀλέξανδρος "ἤμην," "Κἀγὼ, νὴ Δία, εἰπὼν, εἰ Παρμενίων ἤμην," τὸ αὐτοῦ μεγαλόφρον δείκνυσιν· ὡς καὶ τὸ Ὁμήρου παρορίζει μεγαλοφυὲς ἐν τῷ

Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει,

τὸ ἐπ᾽ οὐρανὸν ἀπὸ γῆς διάστημα· καὶ τοῦτ᾽ ἂν εἴποι τις οὐ μᾶλλον [4] τῆς Ἔριδος, ἢ Ὁμήρου μέτρον. [5] Ὢ ἀνόμοιόν γε τὸ Ἡσιόδειον ἐπὶ τῆς Ἀχλύος, εἴγε Ἡσιόδου καὶ τὴν Ἀσπίδα θετέον,

Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον

οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μισητόν. [6] Ὁ δὲ πῶς μεγεθύνει τὰ δαιμόνια;

Ὅσσον δ᾽ ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
Ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον,
Τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.

Τὴν ὁρμὴν αὐτῶν κοσμικῷ διαστήματι καταμετρεῖ. Τίς οὖν οὐκ ἂν εἰκότως διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους ἐπιφθέγξαιτο, ὅτι, ἂν δὶς ἑξῆς ἐφορμήσωσιν οἱ τῶν θεῶν ἵπποι, οὐκέθ' εὑρήσουσιν ἐν κόσμῳ τόπον; Ὑπερφυᾶ καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα,

[1] Ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς, Οὔλυμπός τε,
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς·
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ἔπειτα
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

Ἐπιβλέπεις, ἑταῖρε, ὡς, ἀναῤῥηγνυμένης μὲν ἐκ βάθρων γῆς, αὐτοῦ δὲ γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ ὅλου καὶ διάστασιν τοῦ κόσμου λαμβάνοντος, πάνθ' ἅμα, οὐρανὸς, ᾅδης, τὰ θνητὰ, τὰ ἀθάνατα, ἅμα τῇ τότε συμπολεμεῖ καὶ συγκινδυνεύει μάχῃ. [2] Ἀλλὰ ταῦτα φοβερὰ μὲν, πλὴν ἄλλως εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, παντάπασιν ἄθεα, καὶ οὐ σώζοντα τὸ πρέπον. Ὅμηρος γάρ μοι δοκεῖ, παραδιδοὺς τραύματα θεῶν, στάσεις, τιμωρίας, δάκρυα, δεσμὰ, πάθη πάμφυρτα, τοὺς μὲν ἐπὶ τῶν Ἰλιακῶν ἀνθρώπους, ὅσον ἐπὶ τῇ δυνάμει, θεοὺς πεποιηκέναι, τοὺς θεοὺς δὲ ἀνθρώπους. Ἀλλ' ἡμῖν μὲν—δυσδαιμονοῦσιν ἀπόκειται λιμὴν κακῶν, ὁ θάνατος· τῶν θεῶν δ' οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἀτυχίαν ἐποίησεν αἰώνιον. Πολὺ δὲ τῶν περὶ τὴν θεομαχίαν ἀμείνω τὰ, ὅσα ἄχραντόν τι καὶ μέγα τὸ δαιμόνιον, ὡς ἀληθῶς, καὶ ἄκρατον παρίστησιν, οἷα—πολλοῖς δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργασται—τὰ ἐπὶ τοῦ Ποσειδῶνος,

—Τρέμε δ' οὔρεα μακρὰ, καὶ ὕλη,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν,
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Βῆ δ' ἐλάαν ἐπὶ κύματ'· [1] ἄταλλε δὲ κήτε' ὑπ' αὐτῷ
Πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα.
Γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δὲ πέτοντο——

Ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυχὼν ἀνὴρ, ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν [2] ἐχώρησε, κἀξέφηνεν, εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων, "Εἶπεν ὁ Θεὸς," φησί· τί; "[3] Γενέσθω φῶς, καὶ ἐγένετο· "γενέσθω γῆ, καὶ ἐγένετο." Οὐκ ὀχληρὸς ἂν ἴσως, ἑταῖρε, δόξαιμι, [4] ἓν ἔτι τοῦ Ποιητοῦ, καὶ τῶν ἀνθρωπίνων παραθέμενος, τοῦ μαθεῖν χάριν, ὡς εἰς τὰ ἡρωϊκὰ μεγέθη συνεμβαίνειν ἐθίζει. Ἀχλὺς ἄφνω καὶ νὺξ ἄπειρος αὐτῷ τὴν τῶν Ἑλλήνων ἐπέχει μάχην· ἔνθα δὴ ὁ Αἴας ἀμηχανῶν,

[5] Ζεῦ πάτερ, (φησὶν,) ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι.
Ἐν δὲ φάει καὶ ὄλεσσον.

Ἔστιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος· οὐ γὰρ ζῆν εὔχεται, —ἦν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον,—ἀλλ' ἐπειδὴ ἐν ἀπράκτῳ σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγανακτῶν, ὅτι πρὸς τὴν μάχην ἀργεῖ, φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς πάντως τῆς ἀρετῆς εὑρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντιτάττηται. Ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ τοῖς ἀγῶσι, [6] καὶ οὐκ ἄλλό τι αὐτὸς πέπονθεν, ἢ

Μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
Οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης·
Ἀφλοισμὸς δὲ περὶ στόμα γίνεται.

* * *

§ XII.

—[1] Ὁ Κικέρων τοῦ Δημοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει. Ὁ μὲν γὰρ ἐν ὕψει τὸ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει· καὶ [2] ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους, ῥώμης, δεινότητος, οἷον καίειν τε ἅμα καὶ διαρπάζειν, σκηπτῷ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ· ὁ δὲ Κικέρων, ὡς ἀμφιλαφής τις ἐμπρησμὸς, οἶμαι, πάντη νέμεται καὶ ἀνειλεῖται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον, καὶ διακληρονομούμενον ἄλλοτ' ἀλλοίως ἐν αὐτῷ, καὶ κατὰ διαδοχὰς ἀνατρεφόμενον. [3] Ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ἄμεινον ἐπικρίνοιτε. Καιρὸς δὲ τοῦ Δημοσθενικοῦ μὲν ὕψους καὶ [4] ὑπερτεταμένου, ἔν τε ταῖς δεινώσεσι καὶ τοῖς σφοδροῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον ἐκπλῆξαι· τῆς δὲ χύσεως, ὅπου χρὴ καταντλῆσαι· τοπηγορίαις τε γὰρ, καὶ ἐπιλόγοις κατὰ τὸ πλέον, καὶ παραβάσεσι, καὶ τοῖς φραστικοῖς ἅπασι καὶ ἐπιδεικτικοῖς, ἱστορίαις τε, καὶ φυσιολογίαις, καὶ οὐκ ὀλίγοις ἄλλοις μέρεσιν ἁρμόδιος.

* * *

§ XIV.

[5] Οὐκ οὖν καὶ ἡμᾶς, ἡνίκ' ἂν διαπονῶμεν ὑψηγορίας τι καὶ μεγαλοφροσύνης δεόμενον, καλὸν ἀναπλάττεσθαι ταῖς ψυχαῖς, πῶς ἂν, εἰ τύχοι, ταὐτὸ τοῦθ' Ὅμηρος εἶπεν, πῶς δ' ἂν Πλάτων ἢ Δημοσθένης ὕψωσεν, ἢ ἐν ἱστορίᾳ

Θουκυδίδης· προσπίπτοντα γὰρ ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα, καὶ οἷον διαπρέποντα, τὰς ψυχὰς ἀνοίσει πως [1] πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα. Ἔτι δὲ μᾶλλον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν [2] τόδε τι ὑπ' ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν, ἢ Δημοσθένης, ἢ πῶς ἂν ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον, καὶ ἐν τηλικούτοις ἥρωσι, κριταῖς τε καὶ μάρτυσιν, [3] ὑπέχειν γραφομένων εὐθύνας, καὶ μὴ παῖξαι. Πλέον δὲ τούτων παρορμητικὸν, εἰ προστιθείης, πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ' ἐμὲ πᾶς ἀκούσειεν αἰών; Εἰ δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου οὐ φθέγξαιτό τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου ψυχῆς [4] ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστεροφημίας ὅλης μὴ τελεσφορούμενα χρόνον.

* * *

§ XVI.

[5] Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέθους εἴη μερίς· [6] οὐ μὴν ἀλλ', ἐπεὶ τὸ πάντα διακριβοῦν πολὺ ἔργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν, ὅσα μεγαληγορίας ἀποτελεστικὰ, τοῦ πιστώσασθαι τὸ προκείμενον ἕνεκα καὶ δὴ διέξιμεν. Ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει· τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; "Οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων

"ἐλευθερίας ἀγῶνα ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου "παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον, οὐδ' "οἱ ἐν Σαλαμῖνι, οὐδ' οἱ ἐν Πλαταιαῖς." Ἀλλ' ἐπειδὴ, καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ, καὶ οἱονεὶ φοιβόληπτος γενόμενος, τὸν κατὰ τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν, "Οὐκ ἔστιν ὅπως ἡμάρτετε· οὐ "μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας," φαίνεται δι' ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐπεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος[8] καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον· ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μαχῇ τῇ πρὸς Φίλιππον, ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις, παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. * * *

* * *

§ XVIII.

Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παραπολὺ ἐμπρακτότερα καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα; "[3]Η βούλεσθε, εἰπέ μοι, περιϊόντες ἀλλήλων πυνθάνεσθαι, "λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο τούτου καινότε"ρον, ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα; "τέθνηκε Φίλιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ· τί δ'

" ὑμῖν διαφέρει· καὶ γὰρ, ἂν οὗτός τι πάθῃ, ταχέως
" ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε." Καὶ πάλιν, " Πλέ-
" ωμεν ἐπὶ Μακεδονίαν, φησί· ποῖ δὴ προσορμιούμεθα;
" ἤρετό τις· εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων
" αὐτὸς ὁ πόλεμος." Ἦν δὲ, ἁπλῶς ῥηθὲν, τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον· νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύῤῥοπον τῆς πεύσεως καὶ ἀποκρίσεως, καὶ τὸ πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾷν, οὐ μόνον ὑψηλότερον ἐποίησε τῷ σχηματισμῷ τὸ ῥηθὲν, ἀλλὰ καὶ πιστότερον. * * *

* * *

§ XXV.

[1]Ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ' ἐναγώνιον πρᾶγμα ποιήσεις. " Πεπτωκὼς δέ
" τις, φησὶν ὁ Ξενοφῶν, ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πα-
" τούμενος, παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα τὸν ἵπ-
" πον· ὁ δὲ σφαδάζων ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει."
Τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης.

§ XXXV.

— [2]Ἡ φύσις οὐ ταπεινὸν ἡμᾶς ζῶον, οὐδ' ἀγεννὲς ἔκρινε τὸν ἄνθρωπον, ἀλλ' ὡς εἰς μεγάλην τινὰ πανήγυριν, εἰς τὸν βίον καὶ εἰς τὸν σύμπαντα κόσμον ἐπάγουσα, θεατάς τινας τῶν ὅλων αὐτῆς ἐσομένους, καὶ φιλοτιμοτάτους ἀγωνιστὰς, εὐθὺς ἄμαχον ἔρωτα ἐνέφυσεν ἡμῶν

ταῖς ψυχαῖς παντὸς ἀεὶ τοῦ μεγάλου, καὶ ὡς πρὸς ἡμᾶς δαιμονιωτέρου. Διόπερ τῇ θεωρίᾳ καὶ διανοίας τῆς ἀνθρωπίνης ἐπιβολῇ οὐδ' ὁ σύμπας κόσμος ἀρκεῖ, ἀλλὰ καὶ τοὺς τοῦ περιέχοντας πολλάκις ὅρους ἐκβαίνουσιν αἱ ἐπίνοιαι· καὶ εἴ τις περιβλέψαιτο ἐν κύκλῳ τὸν βίον, ὅς πλέον ἔχει τὸ περιττὸν ἐν πᾶσι καὶ μέγα καὶ καλὸν, ταχέως εἴσεται πρὸς ἃ γεγόναμεν. Ἔνθεν φυσικῶς πως ἀγόμενοι, μὰ Δί, οὐ τὰ μικρὰ ῥεῖθρα θαυμάζομεν, εἰ καὶ διαυγῆ καὶ χρήσιμα· ἀλλὰ τὸν Νεῖλον, καὶ Ἴστρον, ἢ Ῥῆνον, πολὺ δ' ἔτι μᾶλλον τὸν Ὠκεανόν· οὐδέ γε τὸ ὑφ' ἡμῶν τουτὶ φλογίον ἀνακαιόμενον, ἐπεὶ καθαρὸν σώζει τὸ φέγγος, ἐκπληττόμεθα τῶν οὐρανίων μᾶλλον, καίτοι πολλάκις ἐπισκοτουμένων· οὐδὲ τῶν τῆς Αἴτνης κρατήρων ἀξιοθαυμαστότερον νομίζομεν, ἧς αἱ ἀναχοαὶ πέτρους τε ἐκ βυθοῦ καὶ ὅλους ὄχθους ἀναφέρουσι, καὶ ποταμοὺς ἐνίοτε τοῦ γηγενοῦς ἐκείνου καὶ αὐτοῦ μόνου προχέουσι πυρός. Ἀλλ' ἐπὶ τῶν τοιούτων ἁπάντων ἐκεῖν' ἂν εἴποιμεν, ὡς εὐπόριστον μὲν ἀνθρώποις τὸ χρειῶδες, ἢ καὶ ἀναγκαῖον, θαυμαστὸν δ' ὅμως ἀεὶ τὸ παράδοξον.

* * *

§ XLIV.

[1] Ἐκεῖνο μέντοι λοιπὸν, ἕνεκα τῆς σῆς χρηστομαθείας, οὐκ ὀκνήσομεν ἐπιπροσθεῖναι, καὶ διασαφῆσαι, Τερεντιανὲ φίλτατε, ὅπερ ἐζήτησέ τις τῶν φιλοσόφων προσέναγχος, Θαῦμά μ' ἔχει, λέγων, [2] ὡς ἀμέλει καὶ ἑτέρους πολλοὺς, πῶς ποτε κατὰ τὸν ἡμέτερον αἰῶνα πιθαναὶ μὲν ἐπ' ἄκρον καὶ πολίται, καὶ δριμεῖαί τε καὶ ἐντρεχεῖς, καὶ μάλιστα πρὸς ἡδονὰς λόγων εὔφοροι, ὑψηλαὶ

δὲ λίαν καὶ ὑπερμεγέθεις, πλὴν εἰ μή τι σπάνιον, οὐκέτι γίνονται φύσεις· τοσαύτη λόγων [1] κοσμική τις ἐπέχει τὸν βίον ἀφορία. Ἦ, νὴ Δί', ἔφη, πιστευτέον ἐκείνῳ τῷ θρυλλουμένῳ, ὡς ἡ δημοκρατία τῶν μεγάλων ἀγαθὴ τιθηνὸς, ᾗ μόνῃ σχεδὸν καὶ συνήκμασαν οἱ περὶ λόγους δεινοὶ καὶ συναπέθανον; [2] Θρέψαι τε γὰρ, φησὶν, ἱκανὴ τὰ φρονήματα τῶν μεγαλοφρόνων ἡ ἐλευθερία καὶ ἐφελκύσαι, καὶ ἅμα διωθεῖν τὸ πρόθυμον τῆς πρὸς ἀλλήλους ἔριδος καὶ τῆς περὶ τὰ πρωτεῖα φιλοτιμίας. Ἔτι γε μὴν διὰ τὰ προκείμενα ἐν ταῖς πολιτείαις ἔπαθλα ἑκάστοτε τὰ ψυχικὰ προτερήματα τῶν ῥητόρων μελετώμενα ἀκονᾶται, καὶ οἷον ἐκτρίβεται, καὶ τοῖς πράγμασι κατὰ τὸ εἰκὸς ἐλεύθερα συνεκλάμπει. Οἱ δὲ νῦν ἐοίκαμεν, ἔφη, [3] παιδομαθεῖς εἶναι δουλείας δικαίας, τοῖς αὐτῆς ἔθεσι καὶ ἐπιτηδεύμασιν ἐξ ἁπαλῶν ἔτι φρονημάτων μόνον οὐκ ἐνεσπαργανωμένοι, καὶ ἄγευστοι καλλίστου καὶ γονιμωτάτου λόγων νάματος, τὴν ἐλευθερίαν, ἔφη, λέγω· [4] διόπερ οὐδὲν ὅτι μὴ κόλακες ἐκβαινόμεν μεγαλοφυεῖς. Διὰ τοῦτο τὰς μὲν ἄλλας ἕξεις καὶ εἰς οἰκέτας πίπτειν ἔφασκεν, δοῦλον δὲ μηδένα γίνεσθαι ῥήτορα· εὐθὺς γὰρ ἀναζεῖ τὸ ἀπαρρησίαστον, [5] καὶ οἷον ἔμφρουρον, ὑπὸ συνηθείας ἀεὶ [6] κεκονδυλισμένον· [7] "Ἥμισυ γάρ τ' ἀρετῆς, κατὰ "τὸν Ὅμηρον, ἀποαίνυται——δούλιον ἦμαρ." Ὥσπερ οὖν —εἴ γε, φησι, τοῦτο πιστόν ἐστι—ἀκούω τὰ γλωττόκομα, ἐν οἷς οἱ [8] Πυγμαῖοι καλούμενοι τρέφονται, οὐ μόνον κωλύειν, τῶν ἐγκεκλεισμένων τὰς αὐξήσεις, ἀλλὰ καὶ συνάγειν διὰ τὸν περικείμενον τοῖς σώμασι δεσμόν· οὕτως ἅπασαν δουλείαν, κἂν ᾖ δικαιοτάτη, ψυχῆς γλωττόκομον καὶ κοινὸν δή τις ἀποφήναιτο δεσμωτήριον.

Ἐγὼ μέντοι γε ὑπολαμβάνων, Ῥᾴδιον ἔφην, ὦ βέλτιστε, καὶ ἴδιον ἀνθρώπου, τὸ καταμέμφεσθαι ἀεὶ τὰ παρόντα. Ὅρα δὲ μήποτε καὶ ἡ τῆς οἰκουμένης εἰρήνη

διαφθείρει τὰς μεγάλας φύσεις· πολὺ δὲ μᾶλλον ὁ κατέχων ἡμῶν τὰς ἐπιθυμίας ἀπεριόριστος οὑτοσὶ πόλεμος, καὶ, νὴ Δία, πρὸς τούτοις τὰ φρουροῦντα τὸν νῦν βίον, καὶ κατ' ἄκρας [1] ἄγοντα καὶ φέροντα ταυτὶ πάθη· ἡ γὰρ φιλοχρηματία, πρὸς ἣν ἅπαντες ἀπλήστως ἤδη νοσοῦμεν, καὶ ἡ φιληδονία δουλαγωγοῦσι, μᾶλλον δὲ, ὡς ἂν εἴποι τις, [2] καταβυθίζουσιν αὐτάνδρους ἤδη τοὺς βίους· φιλαργυρία μὲν νόσημα μικροποιὸν, φιληδονία δ' ἀγεννέστατον. Οὐ δὴ ἔχω λογιζόμενος εὑρεῖν, ὡς οἷόν τε πλοῦτον ἀόριστον ἐκτιμήσαντας, τὸ δ' ἀληθέστερον εἰπεῖν, ἐκθειάσαντας, τὰ συμφυῆ τούτῳ κακὰ εἰς τὰς ψυχὰς ἡμῶν ἐπεισιόντα μὴ παραδέχεσθαι· ἀκολουθεῖ γὰρ τῷ ἀμέτρῳ πλούτῳ καὶ ἀκολάστῳ συνημμένη, καὶ ἶσα, φασὶ, βαίνουσα πολυτέλεια, ἀνοίγοντος ἐκείνου τῶν πόλεων καὶ οἴκων τὰς εἰσόδους, εἰς ἃς ἐμβαίνει, καὶ συνοικίζεται· χρονίσαντα δὲ ταῦτα ἐν τοῖς βίοις, νεοττοποιεῖται, κατὰ τοὺς σοφοὺς, καὶ ταχέως γενόμενα περὶ τεκνοποιΐαν ἀλαζόνειάν τε γεννῶσι καὶ τῦφον καὶ τρυφὴν, οὐ νόθα ἑαυτῶν γεννήματα, ἀλλὰ καὶ πάνυ γνήσια. Ἐὰν δὲ καὶ τούτους τις τοῦ πλούτου τοὺς ἐκγόνους εἰς ἡλικίαν ἐλθεῖν ἐάσῃ, ταχέως δεσπότας ταῖς ψυχαῖς ἐντίκτουσιν ἀπαραιτήτους, ὕβριν, καὶ παρανομίαν, καὶ ἀναισχυντίαν. Ταῦτα γὰρ οὕτως ἀνάγκη γίνεσθαι, καὶ μηκέτι τοὺς ἀνθρώπους ἀναβλέπειν, μηδὲ πέρα φήμης εἶναί τινα λόγον· ἀλλὰ τοιούτων ἐν κύκλῳ τελεσιουργεῖσθαι κατ' ὀλίγον τῶν βίων τὴν διαφθορὰν, φθίνειν δὲ καὶ καταμαραίνεσθαι τὰ ψυχικὰ μεγέθη, καὶ ἄζηλα γίνεσθαι, ἡνίκα τὰ θνητὰ ἑαυτῶν μέρη καὶ ἀνόητα ἐκθαυμάζοιεν, παρέντες αὔξειν τ' ἀθάνατα. [3] Οὐ γὰρ ἐπὶ κρίσει μέν τις δεκασθεὶς, οὐκ ἂν ἔτι τῶν δικαίων καὶ καλῶν ἐλεύθερος καὶ ὑγιὴς ἂν κριτὴς γένοιτο· ἀνάγκη γὰρ τῷ δωροδόκῳ [4] τὰ οἰκεῖα μὲν φαίνεσθαι καλὰ καὶ δίκαια. Ὅπου δὲ ἡμῶν ἑκάστου τοὺς ὅλους ἤδη

βίους δεκασμοὶ βραβεύουσι, καὶ ἀλλοτρίων θῆραι θανάτων, καὶ ἔνεδραι διαθηκῶν, τὸ δ᾽ ἐκ τοῦ παντὸς κερδαίνειν, ὠνούμεθα τῆς ψυχῆς, [1]ἕκαστος πρὸς τῆς ἑαυτοῦ ἡδονῆς ἠνδραποδισμένοι, ἆρα δὴ ἐν τῇ τοσαύτῃ λοιμικῇ τοῦ βίου διαφθορᾷ δοκοῦμεν ἔτι ἐλεύθερόν τινα κριτὴν τῶν μεγάλων, ἢ διηκόντων πρὸς τὸν αἰῶνα, [2]κἀδέκαστον ἀπολελεῖφθαι, καὶ μὴ καταρχαιρεσιάζεσθαι πρὸς τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας; Ἀλλὰ μήποτε τοῖς τοιούτοις, οἷοίπερ ἐσμὲν ἡμεῖς, ἄμεινον ἄρχεσθαι ἢ ἐλευθέρους εἶναι· ἐπεὶ τοίγε ἀφεθεῖσαι τὸ σύνολον, ὡς ἐξ εἱρκτῆς ἄφετοι, κατὰ τῶν πλησίον αἱ πλεονεξίαι κἂν ἐπικαύσειαν τοῖς κακοῖς τὴν οἰκουμένην. Ὅλως δὲ δαπανὸν ἔφην εἶναι τῶν νῦν γεννωμένων φύσεων τὴν ῥαθυμίαν, ᾗ, πλὴν ὀλίγων, πάντες ἐγκαταβιοῦμεν, οὐκ ἄλλως πονοῦντες ἢ ἀναλαμβάνοντες, εἰ μὴ ἐπαίνου καὶ ἡδονῆς ἕνεκα, [3]ἀλλὰ μὴ τῆς ζήλου καὶ τιμῆς ἀξίας ποτὲ ὠφελείας. * * *

FINIS EXCERPTORUM CRITICORUM.

APPENDIX

AD

ANALECTA GRÆCA MAJORA.

EXCERPTA EX POLYBIO.

τὸ παράδοξον τῶν πράξεων, ὑπὲρ ὧν προῃρήμεθα γράφειν, ἱκανόν ἐστι προκαλέσασθαι καὶ παρορμῆσαι πάντα καὶ νέον καὶ πρεσβύτερον, πρὸς τὴν ἔντευξιν τῆς πραγματείας. Τίς γὰρ οὕτως ὑπάρχει φαῦλος ἢ ῥάθυμος ἀνθρώπων, ὃς οὐκ ἂν βούλοιτο γνῶναι, πῶς καὶ τίνι γένει πολιτείας ἐπικρατηθέντα σχεδὸν ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην οὐχ ὅλοις πεντήκοντα καὶ τρισὶν ἔτεσιν, ὑπὸ μίαν ἀρχὴν ἔπεσε τὴν Ῥωμαίων; ὃ πρότερον οὐχ εὑρίσκεται γεγονός. Τίς δὲ πάλιν οὕτως ἐκπαθὴς πρός τι τῶν ἄλλων θεαμάτων ἢ μαθημάτων, ὃς προὐργιαίτερον ἄν τι ποιήσαιτο τῆσδε τῆς ἐμπειρίας.

β΄. Ὡς δ᾽ ἔστι παράδοξον καὶ μέγα τὸ περὶ τὴν ἡμετέραν ὑπόθεσιν θεώρημα, γένοιτ᾽ ἂν οὕτω μάλιστα ἐμφανές, εἰ τὰς ἐλλογιμωτάτας τῶν προγεγενημένων δυναστειῶν, περὶ ἃς οἱ συγγραφεῖς τοὺς πλείστους διατίθενται λόγους, παραβάλλοιμεν καὶ συγκρίναιμεν πρὸς τὴν Ῥωμαίων ὑπεροχήν. Εἰσὶ δ᾽ αἱ τῆς παραβολῆς ἄξιαι καὶ συγκρίσεως αὗται· Πέρσαι κατά τινας καιροὺς μεγάλην ἀρχὴν κατεκτήσαντο καὶ δυναστείαν· ἀλλ᾽ ὁσάκις ἐτόλμησαν ὑπερβῆναι τοὺς τῆς Ἀσίας ὅρους, οὐ μόνον ὑπὲρ τῆς ἀρχῆς, ἀλλὰ καὶ περὶ σφῶν ἐκινδύνευσαν. Λακεδαιμόνιοι πολλοὺς ἀμφισβητήσαντες χρόνους ὑπὲρ τῆς τῶν Ἑλλήνων ἡγεμονείας, ἐπειδή ποτ᾽ ἐκράτησαν, μόλις ἔτη δώδεκα κατεῖχον αὐτὴν ἀδήριτον. Μακεδόνες τῆς μὲν Εὐρώπης ἦρξαν ἀπὸ τῶν κατὰ τὸν Ἀδρίαν τόπων, ἕως ἐπὶ τὸν Ἴστρον ποταμόν· ὃ βραχὺ παντελῶς ἂν φανείη μέρος τῆς προειρημένης χώρας· μετὰ δὲ ταῦτα προσέλαβον τὴν τῆς Ἀσίας ἀρχὴν, καταλύσαντες τὴν τῶν Περσῶν δυναστείαν· ἀλλ᾽ ὅμως οὗτοι πλείστων δόξαντες καὶ τόπων καὶ πραγμάτων γενέσθαι κύριοι, τὸ πολὺ μέρος ἀκμὴν ἀπέλιπον τῆς οἰκουμένης ἀλλότριον· Σικελίας μὲν γὰρ καὶ Σαρδοῦς, καὶ Λιβύης, οὐδ᾽

ἐπεβάλοντο καθάπαξ ἀμφισβητεῖν· τῆς δὲ Εὐρώπης τὰ μαχιμώτατα γένη τῶν προσεσπερίων ἐθνῶν, ἰσχνῶς εἰπεῖν, οὐδ' ἐγίνωσκον. Ῥωμαῖοί γε μὴν, οὔτινα μέρη, σχεδὸν δὲ πᾶσαν πεποιημένοι τὴν οἰκουμένην ὑπήκοον αὐτοῖς, ζηλωτὸν μὲν τοῖς νῦν οὖσιν, ἀνυπέρβλητον δὲ τοῖς ἐπιγινομένοις ὑπεροχὴν κατεσκεύασαν δυναστείας. Τούτων μέν τοι τὰ πολλὰ διὰ τῆσδε τῆς ξυγγραφῆς ἔσται σαφέστερον κατανοεῖν· ὁμοίως δὲ καὶ περὶ τοῦ, πόσα καὶ πηλίκα συμβάλλεσθαι πέφυκε τοῖς φιλομαθοῦσιν ὁ τῆς πραγματικῆς ἱστορίας τρόπος.

γ΄. Ἄρξει δὲ τῆς πραγματείας ἡμῖν, τῶν μὲν χρόνων Ὀλυμπιὰς ἑκατοστή τε καὶ τετταρακοστή· τῶν δὲ πράξεων, παρὰ μὲν τοῖς Ἕλλησιν ὁ προσαγορευθεὶς Συμμαχικὸς πόλεμος, ὃν πρῶτον ἐξήνεγκε μετ' Ἀχαιῶν πρὸς Αἰτωλοὺς Φίλιππος, Δημητρίου μὲν υἱὸς, πατὴρ δὲ Περσέως· παρὰ δὲ τοῖς τὴν Ἀσίαν κατοικοῦσιν, ὁ περὶ Κοίλης Συρίας, ὃν Ἀντίοχος καὶ Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐπολέμησαν πρὸς ἀλλήλους· ἐν δὲ τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Λιβύην τόποις, ὁ συστὰς Ῥωμαίοις καὶ Καρχηδονίοις, ὃν οἱ πλεῖστοι προσαγορεύουσιν Ἀννιβιακόν. Ταῦτα δ' ἐστὶ συνεχῆ τοῖς τελευταίοις τῆς παρὰ τοῦ Σικυωνίου συντάξεως. Ἐν μὲν οὖν τοῖς πρὸ τούτων χρόνοις, ὡσανεὶ σποράδας εἶναι συνέβαινε τὰς τῆς οἰκουμένης πράξεις· διὰ τὸ καὶ κατὰ τὰς ἐπιβολὰς, ἔτι δὲ συντελείας αὐτῶν, καὶ κατὰ τόπους διαφέρειν ἕκαστα τῶν πεπραγμένων· ἀπὸ δὲ τούτων τῶν καιρῶν οἱονεὶ σωματοειδῆ συμβαίνει γίνεσθαι τὴν ἱστορίαν, συμπλέκεσθαί τε τὰς Ἰταλικὰς καὶ Λιβυκὰς πράξεις, ταῖς τε κατὰ τὴν Ἀσίαν καὶ ταῖς Ἑλληνικαῖς, καὶ πρὸς ἓν γίνεσθαι τέλος τὴν ἀναφορὰν ἁπάντων. Διὸ καὶ τὴν ἀρχὴν τῆς αὐτῶν πραγματείας, ἀπὸ τούτων πεποιήμεθα τῶν καιρῶν. Τῷ γὰρ προειρημένῳ πολέμῳ κρατήσαντες Ῥωμαῖοι Καρχηδονίων, καὶ νομίσαντες

τὸ κυριώτατον καὶ μέγιστον μέρος αὐτοῖς ἠνῦσθαι πρὸς τὴν τῶν ὅλων ἐπιβολὴν, οὕτω καὶ τότε πρῶτον ἐθάρσησαν ἐπὶ τὰ λοιπὰ τὰς χεῖρας ἐκτείνειν, καὶ περαιοῦσθαι μετὰ δυνάμεως, εἴς τε τὴν Ἑλλάδα, καὶ τοὺς κατὰ τὴν Ἀσίαν τόπους. Εἰ μὲν οὖν ἡμῖν ἦν συνήθη καὶ γνώριμα τὰ πολιτεύματα, τὰ περὶ τῆς τῶν ὅλων ἀρχῆς ἀμφισβητήσαντα, ἴσως οὐδὲν ἂν ἡμᾶς ἔδει περὶ τῶν πρὸ τοῦ γράφειν, ἀπὸ ποίας προθέσεως ἢ δυνάμεως ὁρμηθέντες, ἐνεχείρησαν τοῖς τοιούτοις καὶ τηλικούτοις ἔργοις· Ἐπεὶ δ' οὔτε τοῦ τῶν Ῥωμαίων, οὔτε τοῦ τῶν Καρχηδονίων πολιτεύματος πρόχειρός ἐστι τοῖς πολλοῖς τῶν Ἑλλήνων ἡ προγεγενημένη δύναμις, οὐδ' αἱ πράξεις αὐτῶν· ἀναγκαῖον ὑπελάβομεν εἶναι, συντάξασθαι ταύτην καὶ τὴν ἑξῆς βίβλον πρὸ τῆς ἱστορίας, ἵνα μηδεὶς, ἐπιστὰς ἐπ' αὐτὴν τὴν τῶν πραγμάτων ἐξήγησιν, τότε διαπορῇ, καὶ ζητῇ, ποίοις διαβουλίοις, ἢ ποίαις δυνάμεσι καὶ χορηγίαις χρησάμενοι Ῥωμαῖοι, πρὸς ταύτας ὥρμησαν τὰς ἐπιβολὰς, δι' ὧν καὶ τῆς γῆς καὶ τῆς θαλάττης τῆς καθ' ἡμᾶς ἐγένοντο πάσης ἐγκρατεῖς· ἀλλ' ἐκ τούτων τῶν βίβλων καὶ τῆς ἐν ταύταις προκατασκευῆς δῆλον ᾖ τοῖς ἐντυγχάνουσιν, ὅτι καὶ λίαν εὐλόγοις ἀφορμαῖς χρησάμενοι, πρός τε τὴν ἐπίνοιαν ὥρμησαν, καὶ πρὸς τὴν συντέλειαν ἐξίκοντο τῆς τῶν ὅλων ἀρχῆς καὶ δυναστείας.

γ. Τὸ γὰρ τῆς ἡμετέρας πραγματείας ἴδιον, καὶ τὸ θαυμάσιον τῶν καθ' ἡμᾶς καιρῶν, τοῦτό ἐστιν· ὅτι καθάπερ ἡ τύχη σχεδὸν ἅπαντα τὰ τῆς οἰκουμένης πράγματα πρὸς ἓν ἔκλινε μέρος, καὶ πάντα νεύειν ἠνάγκασε πρὸς ἕνα καὶ τὸν αὐτὸν σκοπόν· οὕτω καὶ διὰ τῆς ἱστορίας, ὑπὸ μίαν σύνοψιν ἄγειν τοῖς ἐντυγχάνουσι τὸν χειρισμὸν τῆς τύχης, ᾧ κέχρηται πρὸς τὴν τῶν ὅλων πραγμάτων συντέλειαν. Καὶ γὰρ τὸ προκαλεσάμενον ἡμᾶς καὶ παρορμῆσαν πρὸς τὴν ἐπιβολὴν τῆς ἱστορίας,

μάλιστα τοῦτο γέγονε· σὺν δὲ τούτῳ, καὶ τὸ, μηδένα τῶν καθ' ἡμᾶς ἐπιβεβλῆσθαι τῇ τῶν καθόλου πραγμάτων συντάξει· πολὺ γὰρ ἂν ἧττον ἔγωγε πρὸς τοῦτο τὸ μέρος ἐφιλοτιμήθην. Νῦν δ' ὁρῶν τοὺς μὲν κατὰ μέρος πολέμους, καί τινας τῶν ἅμα τούτοις πράξεων καὶ πλείους πραγματευομένους, τὴν δὲ καθόλου καὶ συλλήβδην οἰκονομίαν τῶν γεγονότων, πότε καὶ πόθεν ὡρμήθη, καὶ πῶς ἔσχε τὴν συντέλειαν, ταύτην οὐδ' ἐπιβαλλόμενον οὐδένα βασανίζειν, ὅσονγε καὶ ἡμᾶς εἰδέναι· παντελῶς ὑπέλαβον ἀναγκαῖον εἶναι τὸ μὴ παραλιπεῖν, μηδ' ἐᾶσαι παρελθεῖν ἀνεπιστάτως τὸ κάλλιστον ἅμα καὶ ὠφελιμώτατον ἐπιτήδευμα τῆς τύχης. Πολλὰ γὰρ αὕτη καινοποιοῦσα καὶ συνεχῶς ἐναγωνιζομένη τοῖς τῶν ἀνθρώπων βίοις, οὐδέπω τοιόνδ' ἁπλῶς οὔτ' εἰργάσατο ἔργον, οὔτ' ἠγωνίσατο ἀγώνισμα, οἷον τὸ καθ' ἡμᾶς. Ὅπερ ἐκ μὲν τῶν κατὰ μέρος γραφόντων τὰς ἱστορίας, οὐχ οἷόν τε συνιδεῖν· εἰ μὴ καὶ τὰς ἐπιφανεστάτας πόλεις τὶς κατὰ μίαν ἑκάστην ἐπελθὼν, ἢ καὶ νὴ Δία γεγραμμένας χωρὶς ἀλλήλων θεασάμενος, εὐθέως ὑπολάβοι κατανενοηκέναι καὶ τὸ τῆς ὅλης οἰκουμένης σχῆμα, καὶ τὴν σύμπασαν αὐτῆς θέσιν καὶ τάξιν· ὅπερ ἐστὶν οὐδαμῶς εἰκός.

έ. Καθόλου μὲν γὰρ ἐμοί γε δοκοῦσιν οἱ πεπεισμένοι διὰ τῆς κατὰ μέρος ἱστορίας μετρίως συνόψεσθαι τὰ ὅλα, παραπλήσιόν τι πάσχειν, ὡς ἂν εἴ τινες ἐμψύχου καὶ καλοῦ σώματος γεγονότος διεῤῥιμμένα τὰ μέρη θεώμενοι, νομίζοιεν ἱκανῶς αὐτόπται γίγνεσθαι τῆς ἐνεργείας αὐτοῦ τοῦ ζώου καὶ καλλονῆς. Εἰ γάρ τις αὐτίκα μάλα συνθεὶς, καὶ τέλειον αὖθις ἀπεργασάμενος τὸ ζῶον τῷ τε εἴδει καὶ τῇ τῆς ψυχῆς εὐπρεπείᾳ, κἄπειτα πάλιν ἐπιδεικνύοι τοῖς αὐτοῖς ἐκείνοις· ταχέως ἂν οἶμαι πάντας αὐτοὺς ὁμολογήσειν; διότι καὶ λίαν πολύ τι τῆς

ἀληθείας ἀπελείποντο πρόσθεν, καὶ παραπλήσιοι τοῖς ὀνειρώττουσιν ἦσαν. Ἔννοιαν μὲν γὰρ λαβεῖν ἀπὸ μέρους τῶν ὅλων, δυνατόν· ἐπιστήμην δὲ καὶ γνώμην ἀτρεκῆ ἔχειν, ἀδύνατον. Διὸ παντελῶς βραχύ τι νομιστέον συμβάλλεσθαι τὴν κατὰ μέρος ἱστορίαν πρὸς τὴν τῶν ὅλων ἐμπειρίαν καὶ πίστιν· ἐκ μὲν τοίγε τῆς ἁπάντων πρὸς ἄλληλα συμπλοκῆς καὶ παραθέσεως, ἔτι δ' ὁμοιότητος καὶ διαφορᾶς, μόνως ἄν τις ἐφίκοιτο καὶ δυνηθείη κατοπτεύσας, ἅμα καὶ τὸ χρήσιμον καὶ τὸ τερπνὸν ἐκ τῆς ἱστορίας λαβεῖν.

ϛ'. Ὑποθησόμεθα δὲ ταύτην ἀρχὴν τῆς βίβλου, τὴν πρώτην διάβασιν ἐξ Ἰταλίας Ῥωμαίων· αὕτη δ' ἐστὶ συνεχὴς μὲν τοῖς ἀφ' ὧν Τίμαιος ἀπέλιπε· πίπτει δὲ κατὰ τὴν ἐννάτην καὶ εἰκοστὴν πρὸς ταῖς ἑκατὸν Ὀλυμπιάδα. Διὸ καὶ ῥητέον ἂν εἴη, πῶς καὶ πότε συστησάμενοι τὰ κατὰ τὴν Ἰταλίαν, καὶ τίσιν ἀφορμαῖς μετὰ ταῦτα χρησάμενοι, διαβαίνειν ὥρμησαν εἰς Σικελίαν· ταύτῃ γὰρ τῇ γῇ πρῶτον ἐπέβησαν τῶν ἐκτὸς τόπων τῆς Ἰταλίας· καὶ ῥητέον αὐτὴν τὴν τῆς διαβάσεως αἰτίαν ψιλῶς, ἵνα μὴ τῆς αἰτίας αἰτίαν επιζητούσης, ἀνυπόστατος ἡ τῆς ὅλης ὑποθέσεως ἀρχὴ γένηται καὶ θεωρία. Ληπτέον δὲ τοῖς καιροῖς ὁμολογουμένην καὶ γνωριζομένην ἀρχὴν παρ' ἅπασι, καὶ τοῖς πράγμασι δυναμένην αὐτὴν ἐξ αὑτῆς θεωρεῖσθαι· κἂν δέῃ τοῖς χρόνοις βραχὺ προσαναδραμόντας κεφαλαιώδη τῶν μεταξὺ πράξεων ποιήσασθαι τὴν ἀνάμνησιν. Τῆς γὰρ ἀρχῆς ἀγνοουμένης, ἢ καὶ, νὴ Δία, ἀμφισβητουμένης, οὐδὲ τῶν ἑξῆς οὐδὲν οἷόν τε παραδοχῆς ἀξιωθῆναι καὶ πίστεως· ὅταν δ' ἡ περὶ ταύτης ὁμολογουμένη παρασκευασθῇ δόξα, τότ' ἤδη καὶ πᾶς ὁ συνεχὴς λόγος, ἀποδοχῆς τυγχάνει παρὰ τοῖς ἀκούουσιν.

ζ'. Ἔτος μὲν οὖν ἐνειστήκει μετὰ μὲν τὴν ἐν Αἰγὸς

ποταμοῖς ναυμαχίαν, ἐννεακαιδέκατον, πρὸ δὲ τῆς ἐν Λεύκτροις μάχης ἑκκαιδέκατον, ἐν ᾧ Λακεδαιμόνιοι μὲν τὴν ἐπὶ Ἀνταλκίδου γενομένην εἰρήνην πρὸς βασιλέα τῶν Περσῶν ἐκύρωσαν· καὶ ὁ πρεσβύτερος Διονύσιος τῇ περὶ τὸν Ἐλλέπορον ποταμὸν μάχῃ νενικηκὼς τοὺς κατὰ τὴν Ἰταλίαν Ἕλληνας, ἐπολιόρκει Ῥηγίον· Γαλάται δὲ κατὰ κράτος ἑλόντες αὐτὴν τὴν Ῥώμην κατεῖχον πλὴν τοῦ Καπιτωλίου. Πρὸς οὓς ποιησάμενοι Ῥωμαῖοι σπονδὰς καὶ διαλύσεις εὐδοκουμένας Γαλάταις, καὶ γινόμενοι πάλιν ἀνελπίστως τῆς πατρίδος ἐγκρατεῖς, καὶ λαβόντες οἷον ἀρχὴν τῆς συναυξήσεως, ἐπολέμουν ἐν τοῖς ἑξῆς χρόνοις πρὸς τοὺς ἀστυγείτονας· γενόμενοι δὲ ἐγκρατεῖς ἁπάντων τῶν Λατίνων, διά τε τὴν ἀνδρίαν, καὶ τὴν ἐν ταῖς μάχαις ἐπιτυχίαν, μετὰ ταῦτα ἐπολέμουν Τυῤῥηνοῖς, ἔπειτα Κελτοῖς, ἑξῆς δὲ Σαυνίταις τοῖς πρός τε τὰς ἀνατολὰς καὶ τὰς ἄρκτους συντερμονοῦσι τῇ τῶν Λατίνων χώρᾳ· μετὰ δέ τινα χρόνον, Ταραντίνων διὰ τὴν εἰς τοὺς πρεσβευτὰς τῶν Ῥωμαίων ἀσέλγειαν καὶ τὸν διὰ ταῦτα φόβον, ἐπισπασαμένων Πύῤῥον τῷ πρότερον ἔτει τῆς τῶν Γαλατῶν ἐφόδου, τῶν τε περὶ Δελφοὺς φθαρέντων, καὶ περαιωθέντων εἰς τὴν Ἀσίαν, Ῥωμαῖοι Τυῤῥηνοὺς μὲν καὶ Σαυνίτας ὑφ' αὑτοὺς πεποιημένοι, τοὺς δὲ κατὰ τὴν Ἰταλίαν Κελτοὺς πολλαῖς μάχαις ἤδη νενικηκότες, τότε πρῶτον ἐπὶ τὰ λοιπὰ μέρη τῆς Ἰταλίας ὥρμησαν, οὐχ ὡς ὑπὲρ ὀθνείων, ἐπὶ δὲ τὸ πλεῖον, ὡς ὑπὲρ ἰδίων ἤδη καὶ καθηκόντων σφίσι πολεμήσοντες, ἀθληταὶ γεγονότες ἀληθινοὶ τῶν κατὰ τὸν πόλεμον ἔργων, ἐκ τῶν πρὸς τοὺς Σαυνίτας καὶ Κελτοὺς ἀγώνων· ὑποστάντες δὲ γενναίως τὸν πόλεμον τοῦτον καὶ τὸ τελευταῖον τάς τε δυνάμεις, καὶ Πύῤῥον ἐκβαλόντες ἐκ τῆς Ἰταλίας, αὖθις ἐπολέμουν καὶ κατεστρέφοντο τοὺς κοινωνήσαντας Πύῤῥῳ τῶν πραγμάτων· γενόμενοι δὲ παρα-

δόξας ἁπάντων ἐγκρατεῖς, καὶ ποιησάμενοι τοὺς τὴν Ἰταλίαν κατοικοῦντας ὑφ' αὑτοὺς, πλὴν Κελτῶν, μετὰ ταῦτα πολιορκεῖν ἐνεχείρησαν τοὺς τότε κατέχοντας τὸ Ῥήγιον Ῥωμαίους.

ἘΚ ΤΗΣ ἙΚΤΗΣ ΒΙΒΛΟΥ.

Β'. Περὶ τῆς Ῥωμαίων πολιτείας.

α'. Ἦν μὲν δὴ τρία μέρη τὰ κρατοῦντα τῆς πολιτείας, ἅπερ εἶπα πρότερον ἅπαντα· οὕτω δὲ πάντα κατὰ μέρος ἴσως καὶ πρεπόντως συνετέτακτο, καὶ διῳκεῖτο διὰ τούτων, ὥστε μηδένα ποτ' ἂν εἰπεῖν δύνασθαι βεβαίως, μηδὲ τῶν ἐγχωρίων, πότερ' ἀριστοκρατικὸν τὸ πολίτευμα σύμπαν, ἢ δημοκρατικὸν, ἢ μοναρχικόν. Καὶ τοῦτ' εἰκότως ἦν πάσχειν. Ὅτε μὲν γὰρ εἰς τὴν τῶν Ὑπάτων ἀτενίσαιμεν ἐξουσίαν, τελείως μοναρχικὸν ἐφαίνετ' εἶναι καὶ βασιλικόν· ὅτε δὲ εἰς τὴν τῆς Συγκλήτου, πάλιν ἀριστοκρατικόν· καὶ μὴν εἰ τὴν τῶν Πολλῶν ἐξουσίαν θεωροίη τις, ἐδόκει σαφῶς εἶναι δημοκρατικόν. Ὧν δ' ἕκαστον εἶδος μερῶν τῆς πολιτείας ἐπεκράτει, καὶ τότε, καὶ νῦν ἔτι, πλὴν ὀλίγων τινῶν, ταῦτ' ἐστιν.

β'. Οἱ μὲν γὰρ Ὕπατοι, πρὸ τοῦ μὲν ἐξάγειν τὰ στρατόπεδα παρόντες ἐν Ῥώμῃ, πασῶν εἰσὶ κύριοι τῶν δημοσίων πράξεων· οἵ τε γὰρ ἄρχοντες οἱ λοιποὶ πάντες ὑποτάττονται καὶ πειθαρχοῦσι τούτοις, πλὴν τῶν Δημάρχων, εἴς τε τὴν Σύγκλητον οὗτοι τὰς πρεσβείας ἄγουσι· πρὸς δὲ τοῖς προειρημένοις, οὗτοι τὰ κατεπείγοντα τῶν διαβουλίων ἀναδιδόασιν, οὗτοι τὸν ὅλον χει-

ρισμὸν τῶν δογμάτων ἐπιτελοῦσι. Καὶ μὴν ὅσα δεῖ διὰ τοῦ Δήμου συντελεῖσθαι τῶν πρὸς τὰς κοινὰς πράξεις ἀνηκόντων, τούτοις καθήκει φροντίζειν, καὶ συνάγειν ἀεὶ τὰς Ἐκκλησίας, τούτοις εἰσφέρειν τὰ δόγματα, τούτοις βραβεύειν τὰ δοκοῦντα τοῖς πλείοσι. Καὶ μὴν περὶ πολέμου κατασκευῆς, καὶ καθόλου τῆς ἐν ὑπαίθροις οἰκονομίας, σχεδὸν αὐτοκράτορα τὴν ἐξουσίαν ἔχουσι· καὶ γὰρ ἐπιτάττειν τοῖς συμμαχικοῖς τὸ δοκοῦν, καὶ τοὺς χιλιάρχους καθιστάναι, καὶ διαγράφειν τοὺς στρατιώτας, καὶ διαλέγειν τοὺς ἐπιτηδείους, τούτοις ἔξεστι· πρὸς δὲ τοῖς εἰρημένοις, ζημιῶσαι τῶν ὑποταττομένων ἐν τοῖς ὑπαίθροις, ὃν ἂν βουληθῶσι, κύριοι καθεστᾶσιν· ἐξουσίαν δ' ἔχουσι καὶ δαπανᾷν τῶν δημοσίων, ὅσα προθεῖντο, παρεπομένου ταμίου, καὶ πᾶν τὸ προσταχθὲν ἑτοίμως ποιοῦντος. Ὥστ' εἰκότως εἰπεῖν ἄν, ὅτε τις εἰς ταύτην ἀποβλέψειε τὴν μερίδα, διότι μοναρχικὸν ἁπλῶς καὶ βασιλικόν ἐστι τὸ πολίτευμα· εἰ δέ τινα τούτων ἢ τῶν λέγεσθαι μελλόντων λήψεται μετάθεσιν, ἢ κατὰ τὸ παρὸν ἢ μετά τινα χρόνον, οὐδὲν ἂν εἴη πρὸς τὴν νῦν ὑφ' ἡμῶν λεγομένην ἀπόφασιν.

γ΄. Καὶ μὴν ἡ Σύγκλητος πρῶτον μὲν ἔχει τὴν τοῦ ταμιείου κυρίαν· καὶ γὰρ τῆς εἰσόδου πάσης αὕτη κρατεῖ, καὶ τῆς ἐξόδου παραπλησίως· οὔτε γὰρ εἰς τὰς κατὰ μέρος χρείας οὐδεμίαν ποιεῖν ἔξοδον οἱ ταμίαι δύνανται, χωρὶς τῶν τῆς Συγκλήτου δογμάτων, πλὴν τὴν εἰς τοὺς Ὑπάτους· τῆς δὲ παρὰ πολὺ τῶν ἄλλων ὁλοσχερεστάτης καὶ μεγίστης δαπάνης, ἣν οἱ τιμηταὶ ποιοῦσιν εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων κατὰ πενταετηρίαν, ταύτης ἡ Σύγκλητός ἐστι κυρία, καὶ διὰ ταύτης γίνεται τὸ συγχώρημα τοῖς τιμηταῖς. Ὁμοίως καὶ ὅσα τῶν ἀδικημάτων, τῶν κατ' Ἰταλίαν, προσδεῖται δημοσίας ἐπισκέψεως, λέγω δέ, οἷον προδο-

σίας, συνωμοσίας, φαρμακείας, δολοφονίας, τῇ Συγκλήτῳ μέλει περὶ τούτων· πρὸς δὲ τούτους, εἴ τις ἰδιώτης ἢ πόλις τῶν κατὰ τὴν Ἰταλίαν διαλύσεως, ἢ ἐπιτιμήσεως, ἢ βοηθείας, ἢ φυλακῆς προσδεῖται, τούτων πάντων ἐπιμελές ἐστι τῇ Συγκλήτῳ· καὶ μὴν εἰ τῶν ἐκτὸς Ἰταλίας πρός τινας ἐξαποστέλλειν δέοι πρεσβείαν τινα, ἢ διαλύουσάν τινας, ἢ παρακαλέσουσαν, ἢ καὶ, νὴ Δία, ἐπιτάξουσαν, ἢ παραληψομένην, ἢ πολεμεῖν ἐπαγγέλλουσαν, αὕτη ποιεῖται τὴν πρόνοιαν· ὁμοίως δὲ καὶ τῶν παραγινομένων εἰς Ῥώμην πρεσβειῶν, ὡς δέον ἐστὶν, ἑκάστοις χρῆσθαι, καὶ, ὡς δέον ἐστὶν, ἀποκριθῆναι, πάντα ταῦτα χειρίζεται διὰ τῆς Συγκλήτου· πρὸς δὲ τὸν Δῆμον καθάπαξ οὐδέν ἐστι τῶν προειρημένων. Ἐξ ὧν πάλιν, ὁπότε τις ἐπιδημήσαι, μὴ παρόντος Ὑπάτου, τελείως ἀριστοκρατικὴ φαίνεται ἡ πολιτεία· ὃ δὴ καὶ πολλοὶ τῶν Ἑλλήνων, ὁμοίως δὲ καὶ τῶν βασιλέων, πεπεισμένοι τυγχάνουσι, διὰ τὸ τὰ σφῶν πράγματα σχεδὸν πάντα πρὸς τὴν Σύγκλητον κυροῦν.

γ. Ἐκ δὲ τούτων τίς οὐκ ἂν εἰκότως ἐπιζητήσειε, ποία καὶ τίς ποτέ ἐστιν ἡ τῷ Δήμῳ καταλειπομένη μερὶς ἐν τῷ πολιτεύματι· τῆς μὲν Συγκλήτου τῶν κατὰ μέρος, ὧν εἰρήκαμεν, κυρίας ὑπαρχούσης, τὸ δὲ μέγιστον, ὑπ᾽ αὐτῆς καὶ τῆς εἰσόδου καὶ τῆς ἐξόδου χειριζομένης ἁπάσης· τῶν δὲ στρατηγῶν Ὑπάτων πάλιν αὐτοκράτορα μὲν ἐχόντων δύναμιν περὶ τὰς τοῦ πολέμου παρασκευὰς, αὐτοκράτορα δὲ τὴν ἐν τοῖς ὑπαίθροις ἐξουσίαν. Οὐ μὴν ἀλλὰ καταλείπεται μερὶς καὶ τῷ Δήμῳ, καὶ καταλείπεταί γε βαρυτάτη. Τιμῆς γάρ ἐστι καὶ τιμωρίας ἐν τῇ πολιτείᾳ μόνος ὁ Δῆμος κύριος, οἷς συνέχονται μόνοις καὶ δυναστεῖαι, καὶ πολιτεῖαι, καὶ συλλήβδην πᾶς ὁ τῶν ἀνθρώπων βίος. Παρ᾽ οἷς γὰρ ἢ μὴ γινώσκεσθαι συμβαίνει τὴν τοιαύτην διαφορὰν, ἢ γι-

νοσπομένην χειρίζεσθαι κακῶς, παρὰ τούτοις οὐδὲν οἷόν τε κατὰ λόγον διοικεῖσθαι τῶν ὑφεστώτων· πῶς γὰρ εἰκὸς, ἐν ἴσῃ τιμῇ ὄντων τῶν ἀγαθῶν τοῖς κακοῖς; Κρίνει μὲν οὖν ὁ Δῆμος καὶ διαφόρου πολλάκις, ὅταν ἀξιόχρεων ᾖ τὸ τίμημα τῆς ἀδικίας, καὶ μάλιστα τοὺς τὰς ἐπιφανεῖς ἐσχηκότας ἀρχάς· θανάτου δὲ κρίνει μόνος. Καὶ γίνεταί τι περὶ ταύτην τὴν χρείαν παρ' αὐτοῖς ἄξιον ἐπαίνου καὶ μνήμης· τοῖς γὰρ θανάτου κρινομένοις, ἐπὰν καταδικάζωνται, δίδωσι τὴν ἐξουσίαν τὸ παρ' αὐτοῖς ἔθος ἀπαλλάττεσθαι φανερῶς, κἂν ἔτι μία λείπηται φυλὴ τῶν ἐπικυρουσῶν τὴν κρίσιν ἀψηφοφόρητος, ἑκούσιον ἑαυτοῦ καταγνόντα φυγαδείαν· ἔστι δ' ἀσφάλεια τοῖς φεύγουσιν ἔν τε τῇ Νεαπολιτῶν καὶ Πραινεστινῶν, ἔτι δὴ Τιβουρηνῶν πόλει, καὶ ταῖς ἄλλαις, πρὸς ἃς ἔχουσιν ὅρκια. Καὶ μὴν τὰς ἀρχὰς ὁ Δῆμος δίδωσι τοῖς ἀξίοις· ὅπερ ἐστὶ κάλλιστον ἆθλον ἐν πολιτείᾳ καλοκἀγαθίας. Ἔχει δὲ τὴν κυρίαν καὶ περὶ τῆς τῶν νόμων δοκιμασίας· καὶ τὸ μέγιστον, ὑπὲρ εἰρήνης οὗτος βουλεύεται καὶ πολέμου. Καὶ μὴν περὶ συμμαχίας, καὶ διαλύσεως, καὶ συνθηκῶν, οὗτός ἐστιν ὁ βεβαιῶν ἕκαστα τούτων, καὶ κύρια ποιῶν, ἢ τοὐναντίον. Ὥστε πάλιν ἐκ τούτων εἰκότως ἄν τινα εἰπεῖν, ὅτι μεγίστην ὁ Δῆμος ἔχει μερίδα, καὶ δημοκρατικόν ἐστι τὸ πολίτευμα.

ε'. Τίνα μὲν οὖν τρόπον διῄρηται τὰ τῆς πολιτείας εἰς ἕκαστον εἶδος, εἴρηται· τίνα δὲ τρόπον ἀντιπράττειν βουληθέντα, καὶ συνεργεῖν ἀλλήλοις πάλιν ἕκαστα τῶν μερῶν δύναται, νῦν ῥηθήσεται. Ὁ μὲν γὰρ Ὕπατος, ἐπειδὰν τυχὼν τῆς προειρημένης ἐξουσίας ὁρμήσῃ μετὰ τῆς δυνάμεως, δοκεῖ μὲν αὐτοκράτωρ εἶναι πρὸς τὴν τῶν προκειμένων συντέλειαν· προσδεῖται δὲ τοῦ Δήμου, καὶ τῆς Συγκλήτου, καὶ χωρὶς τούτων ἐπὶ τέλος ἄγειν τὰς πράξεις οὐχ ἱκανός ἐστι. Δῆλον γὰρ, ὡς δεῖ μὲν ἐπι-

πέμπεσθαι τοῖς στρατοπέδοις ἀεὶ τὰς χορηγίας, ἄνευ δὲ τοῦ τῆς Συγκλήτου βουλήματος οὔτε σῖτος, οὔτε ἱματισμὸς, οὔτε ὀψώνια δύναται χορηγεῖσθαι τοῖς στρατοπέδοις· ὥστ' ἀπράκτους γίνεσθαι τὰς ἐπιβολὰς τῶν ἡγουμένων, ἐθελοκακεῖν καὶ κωλυσιεργεῖν προθεμένης τῆς Συγκλήτου. Καὶ μὴν τό γ' ἐπιτελεῖς ἢ μὴ γίνεσθαί τὰς ἐπινοίας καὶ προθέσεις τῶν στρατηγῶν, ἐν τῇ Συγκλήτῳ κεῖται· τοῦ γὰρ ἐπαποστεῖλαι στρατηγὸν ἕτερον, ἐπειδὰν ἐνιαύσιος διέλθῃ χρόνος, ἢ τὸν ὑπάρχοντα ποιεῖν ἐπίμονον, ἔχει τὴν δύναμιν αὕτη. Καὶ μὴν τὰς ἐπιτυχίας τῶν ἡγουμένων ἐκτραγῳδῆσαι καὶ συναυξῆσαι, καὶ πάλιν ἀμαυρῶσαι καὶ ταπεινῶσαι, τὸ συνέδριον ἔχει τὴν δύναμιν· τοὺς γὰρ προσαγορευομένους παρ' αὐτοῖς θριάμβους, δι' ὧν ὑπὸ τὴν ὄψιν ἄγεται τοῖς πολίταις ὑπὸ τῶν στρατηγῶν ἡ τῶν κατειργασμένων πραγμάτων ἐνάργεια, τούτους οὐ δύναται χειρίζειν, ὡς πρέπει, ποτὲ δὲ τὸ παράπαν οὐδὲ συντελεῖν, ἐὰν μὴ τὸ συνέδριον συγκατάθηται, καὶ δῷ τὴν εἰς ταῦτα δαπάνην. Τοῦ γε μὴν Δήμου τὸ διαλύεσθαι καὶ λίαν αὐτοῖς ἀναγκαῖόν ἐστι, κἂν ὅλως ἀπὸ τῆς οἰκίας τύχωσι πολὺν τόπον ἀφεστῶτες· ὁ γὰρ τὰς διαλύσεις καὶ συνθήκας ἀκύρους καὶ κυρίας ποιῶν, ὡς ἐπάνω προεῖπον, οὗτός ἐστιν. Τὸ δὲ μέγιστον, ἀποτιθεμένους τὴν ἀρχὴν ἐν τούτῳ δεῖ τὰς εὐθύνας ὑπέχειν τῶν πεπραγμένων· ὥστε κατὰ μηδένα τρόπον ἀσφαλὲς εἶναι τοῖς στρατηγοῖς ὀλιγωρεῖν, μήτε τῆς Συγκλήτου, μήτε τῆς τοῦ Πλήθους εὐνοίας.

ϛʹ. Ἡ γε μὴν Σύγκλητος πάλιν, ἡ τηλικαύτην ἔχουσα δύναμιν, πρῶτον μὲν ἐν τοῖς κοινοῖς πράγμασιν ἀναγκάζεται προσέχειν τοῖς Πολλοῖς, καὶ στοχάζεσθαι τοῦ Δήμου· τὰς δ' ὁλοσχερεστάτας καὶ μεγίστας ζητήσεις καὶ διορθώσεις τῶν ἁμαρτανομένων κατὰ τὰς πολιτείας, οἷς θάνατος ἀκολουθεῖ τὸ πρόστιμον, οὐ δύναται συντελεῖν,

ἂν μὴ συνεπικυρώσῃ τὸ προβεβουλευμένον ὁ Δῆμος· ὁμοίως δὲ καὶ περὶ τῶν εἰς ταύτην ἀνηκόντων. Ἐὰν γάρ τις εἰσφέρῃ νόμον, ἢ τῆς ἐξουσίας ἀφαιρούμενός τι, τῆς ὑπαρχούσης τῇ Συγκλήτῳ κατὰ τοὺς ἐθισμοὺς, ἢ τὰς προεδρίας καὶ τιμὰς καταλύων αὐτῶν, ἢ καὶ, νὴ Δία, ποιῶν ἐλαττώματα περὶ τοὺς βίους· πάντων ὁ Δῆμος γίνεται τῶν τοιούτων καὶ θεῖναι, καὶ μὴ, κύριος. Τὸ δὲ συνέχον, ἐὰν εἷς ἐνίστηται τῶν Δημάρχων, οὐχ οἷον ἐπὶ τέλος ἄγειν τι δύναται τῶν διαβουλίων ἡ Σύγκλητος, ἀλλ' οὐδὲ συνεδρεύειν ἢ συμπορεύεσθαι τὸ παράπαν. Ὀφείλουσι δὲ ἀεὶ ποιεῖν οἱ Δήμαρχοι τὸ δοκοῦν τῷ Δήμῳ, καὶ μάλιστα στοχάζεσθαι τῆς τούτου βουλήσεως. Διὸ πάντων τῶν προειρημένων χάριν δέδιε τοὺς Πολλοὺς, καὶ προσέχει τὸν νοῦν τῷ Δήμῳ ἡ Σύγκλητος.

ζ. Ὁμοίως γε μὴν πάλιν ὁ Δῆμος ὑπόχρεώς ἐστι τῇ Συγκλήτῳ, καὶ στοχάζεσθαι ταύτης ὀφείλων, καὶ κοινῇ καὶ κατ' ἰδίαν. Πολλῶν γὰρ ἔργων ὄντων, τῶν ἐκδιδομένων ὑπὸ τῶν τιμητῶν διὰ πάσης Ἰταλίας, εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων, ἅ τις οὐκ ἂν ἐξαριθμήσαιτο ῥᾳδίως, πολλῶν δὲ ποταμῶν, λιμένων, κηπίων, μετάλλων, χώρας· συλλήβδην ὅσα πέπτωκεν ὑπὸ τὴν Ῥωμαίων δυναστείαν· πάντα χειρίζεσθαι συμβαίνει τὰ προειρημένα διὰ τοῦ Πλήθους, καὶ σχεδὸν, ὡς ἔπος εἰπεῖν, πάντας ἐνδεδέσθαι ταῖς ὠναῖς καὶ ταῖς ἐργασίαις ταῖς ἐκ τούτων. Οἱ μὲν γὰρ ἀγοράζουσι παρὰ τῶν τιμητῶν αὐτοὶ τὰς ἐκδόσεις, οἱ δὲ κοινωνοῦσι τούτοις, οἱ δ' ἐγγυῶνται τοὺς ἠγορακότας, οἱ δὲ τὰς οὐσίας διδόασιν περὶ τούτων εἰς τὸ δημόσιον· ἔχει δὲ περὶ πάντων τῶν προειρημένων τὴν κυρίαν τὸ συνέδριον· καὶ γὰρ χρόνον δοῦναι, καὶ συμπτώματος γενομένου κουφίσαι, καὶ τὸ παράπαν, ἀδυνάτου τινὸς συμβάντος, ἀπολῦσαι τῆς ἐργωνίας· καὶ πολλά δὴ τινά ἐστιν, ἐν οἷς καὶ βλά-

πέμπεσθαι τοῖς ϛρατοπέδοις ἀεὶ τὰς χορηγίας, ἄνευ δὲ τοῦ τῆς Συγκλήτου βουλήματος οὔτε σῖτος, οὔτε ἱματισμὸς, οὔτε ὀψώνια δύναται χορηγεῖσθαι τοῖς στρατοπέδοις· ὥστ' ἀπράκτους γίνεσθαι τὰς ἐπιβολὰς τῶν ἡγουμένων, ἐθελοκακεῖν καὶ κωλυσιεργεῖν προθεμένης τῆς Συγκλήτου. Καὶ μὴν τό γ' ἐπιτελεῖς ἢ μὴ γίνεσθαί τὰς ἐπινοίας καὶ προθέσεις τῶν στρατηγῶν, ἐν τῇ Συγκλήτῳ κεῖται· τοῦ γὰρ ἐπαποστεῖλαι στρατηγὸν ἕτερον, ἐπειδὰν ἐνιαύσιος διέλθῃ χρόνος, ἢ τὸν ὑπάρχοντα ποιεῖν ἐπίμονον, ἔχει τὴν δύναμιν αὕτη. Καὶ μὴν τὰς ἐπιτυχίας τῶν ἡγουμένων ἐκτραγῳδῆσαι καὶ συναυξῆσαι, καὶ πάλιν ἀμαυρῶσαι καὶ ταπεινῶσαι, τὸ συνέδριον ἔχει τὴν δύναμιν· τοὺς γὰρ προσαγορευομένους παρ' αὐτοῖς θριάμβους, δι' ὧν ὑπὸ τὴν ὄψιν ἄγεται τοῖς πολίταις ὑπὸ τῶν στρατηγῶν ἡ τῶν κατειργασμένων πραγμάτων ἐνάργεια, τούτους οὐ δύναται χειρίζειν, ὡς πρέπει, ποτὲ δὲ τὸ παράπαν οὐδὲ συντελεῖν, ἐὰν μὴ τὸ συνέδριον συγκατάθηται, καὶ δῷ τὴν εἰς ταῦτα δαπάνην. Τοῦ γε μὴν Δήμου τὸ διαλύεσθαι καὶ λίαν αὐτοῖς ἀναγκαῖόν ἐστι, κἂν ὅλως ἀπὸ τῆς οἰκίας τύχωσι πολὺν τόπον ἀφεστῶτες· ὁ γὰρ τὰς διαλύσεις καὶ συνθήκας ἀκύρους καὶ κυρίας ποιῶν, ὡς ἐπάνω προεῖπον, οὗτός ἐστιν. Τὸ δὲ μέγιστον, ἀποτιθεμένους τὴν ἀρχὴν ἐν τούτῳ δεῖ τὰς εὐθύνας ὑπέχειν τῶν πεπραγμένων· ὥστε κατὰ μηδένα τρόπον ἀσφαλὲς εἶναι τοῖς στρατηγοῖς ὀλιγωρεῖν, μήτε τῆς Συγκλήτου, μήτε τῆς τοῦ Πλήθους εὐνοίας.

ϛ'. Ἡ γε μὴν Σύγκλητος πάλιν, ἡ τηλικαύτην ἔχουσα δύναμιν, πρῶτον μὲν ἐν τοῖς κοινοῖς πράγμασιν ἀναγκάζεται προσέχειν τοῖς Πολλοῖς, καὶ στοχάζεσθαι τοῦ Δήμου· τὰς δ' ὁλοσχερεστάτας καὶ μεγίστας ζητήσεις καὶ διορθώσεις τῶν ἁμαρτανομένων κατὰ τὰς πολιτείας, οἷς θάνατος ἀκολουθεῖ τὸ πρόστιμον, οὐ δύναται συντελεῖν,

ἂν μὴ συνεπικυρώσῃ τὸ προβεβουλευμένον ὁ Δῆμος· ὁμοίως δὲ καὶ περὶ τῶν εἰς ταύτην ἀνηκόντων. Ἐὰν γάρ τις εἰσφέρῃ νόμον, ἢ τῆς ἐξουσίας ἀφαιρούμενός τι, τῆς ὑπαρχούσης τῇ Συγκλήτῳ κατὰ τοὺς ἐθισμοὺς, ἢ τὰς προεδρίας καὶ τιμὰς καταλύων αὐτῶν, ἢ καὶ, νὴ Δία, ποιῶν ἐλαττώματα περὶ τοὺς βίους· πάντων ὁ Δῆμος γίνεται τῶν τοιούτων καὶ θεῖναι, καὶ μὴ, κύριος. Τὸ δὲ συνέχον, ἐὰν εἷς ἐνίστηται τῶν Δημάρχων, οὐχ οἷον ἐπὶ τέλος ἄγειν τι δύναται τῶν διαβουλίων ἡ Σύγκλητος, ἀλλ' οὐδὲ συνεδρεύειν ἢ συμπορεύεσθαι τὸ παράπαν. Ὀφείλουσι δὲ ἀεὶ ποιεῖν οἱ Δήμαρχοι τὸ δοκοῦν τῷ Δήμῳ, καὶ μάλιστα στοχάζεσθαι τῆς τούτου βουλήσεως. Διὸ πάντων τῶν προειρημένων χάριν δέδιε τοὺς Πολλοὺς, καὶ προσέχει τὸν νοῦν τῷ Δήμῳ ἡ Σύγκλητος.

ζ'. Ὁμοίως γε μὴν πάλιν ὁ Δῆμος ὑπόχρεώς ἐστι τῇ Συγκλήτῳ, καὶ στοχάζεσθαι ταύτης ὀφείλων, καὶ κοινῇ καὶ κατ' ἰδίαν. Πολλῶν γὰρ ἔργων ὄντων, τῶν ἐκδιδομένων ὑπὸ τῶν τιμητῶν διὰ πάσης Ἰταλίας, εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων, ἅ τις οὐκ ἂν ἐξαριθμήσαιτο ῥᾳδίως, πολλῶν δὲ ποταμῶν, λιμένων, κηπίων, μετάλλων, χώρας· συλλήβδην ὅσα πέπτωκεν ὑπὸ τὴν Ῥωμαίων δυναστείαν· πάντα χειρίζεσθαι συμβαίνει τὰ προειρημένα διὰ τοῦ Πλήθους, καὶ σχεδὸν, ὡς ἔπος εἰπεῖν, πάντας ἐνδεδέσθαι ταῖς ὠναῖς καὶ ταῖς ἐργασίαις ταῖς ἐκ τούτων. Οἱ μὲν γὰρ ἀγοράζουσι παρὰ τῶν τιμητῶν αὐτοὶ τὰς ἐκδόσεις, οἱ δὲ κοινωνοῦσι τούτοις, οἱ δ' ἐγγυῶνται τοὺς ἠγορακότας, οἱ δὲ τὰς οὐσίας διδόασιν περὶ τούτων εἰς τὸ δημόσιον· ἔχει δὲ περὶ πάντων τῶν προειρημένων τὴν κυρίαν τὸ συνέδριον· καὶ γὰρ χρόνον δοῦναι, καὶ συμπτώματος γενομένου κουφίσαι, καὶ τὸ παράπαν, ἀδυνάτου τινὸς συμβάντος, ἀπολῦσαι τῆς ἐργωνίας· καὶ πολλά δή τινά ἐστιν, ἐν οἷς καὶ βλά-

πτει μεγάλα, καὶ πάλιν ὠφελεῖ τοὺς τὰ δημόσια χειρίζοντας ἡ Σύγκλητος· ἡ γὰρ ἀναφορὰ τῶν προειρημένων γίνεται πρὸς ταύτην. Τὸ δὲ μέγιστον, ἐκ ταύτης ἀποδίδονται κριταὶ τῶν πλείστων καὶ τῶν δημοσίων καὶ τῶν ἰδιωτικῶν συναλλαγμάτων, ὅσα μέγεθος ἔχει τῶν ἐγκλημάτων· διὸ πάντες εἰς τὴν ταύτης πίστιν ἐνδεδεμένοι, καὶ δεδιότες τὸ τῆς χρείας ἄδηλον, εὐλαβῶς ἔχουσι πρὸς τὰς ἐνστάσεις καὶ τὰς ἀντιπράξεις τῶν τῆς Συγκλήτου βουλημάτων. Ὁμοίως δὲ καὶ πρὸς τὰς τῶν Ὑπάτων ἐπιβολὰς δυσχερῶς ἀντιπράττουσιν, διὰ τὸ κατ' ἰδίαν καὶ κοινῇ πάντας ἐν τοῖς ὑπαίθροις ὑπὸ τὴν ἐκείνων πίπτειν ἐξουσίαν.

η'. Τοιαύτης δ' οὔσης τῆς ἑκάστου τῶν μερῶν δυνάμεως, εἰς τὸ καὶ βλάπτειν καὶ συνεργεῖν ἀλλήλοις· πρὸς πάσας συμβαίνει τὰς περιστάσεις δεόντως ἔχειν τὴν ἁρμογὴν αὐτῶν, ὥστε μὴ οἷόν τ' εἶναι, ταύτης εὑρεῖν ἀμείνω πολιτείας σύστασιν. Ὅταν μὲν γάρ τις ἔξωθεν κοινὸς φόβος ἐπιστὰς ἀναγκάσῃ σφᾶς συμφρονεῖν καὶ συνεργεῖν ἀλλήλοις· τηλικαύτην καὶ τοιαύτην συμβαίνει γίνεσθαι τὴν δύναμιν τοῦ πολιτεύματος, ὥστε μηδὲ παραλείπεσθαι τῶν δεόντων μηδὲν, ἅτε περὶ τὸ προσπεσὸν ἀεὶ πάντων ὁμοῦ ταῖς ἐπινοίαις ἁμιλλωμένων, μήτε τὸ κριθὲν ὑστερεῖν τοῦ καιροῦ, κοινῇ καὶ κατ' ἰδίαν ἑκάστου συνεργοῦντος πρὸς τὴν τοῦ προκειμένου συντέλειαν· διόπερ ἀνυπόστατον συμβαίνει γίνεσθαι, καὶ παντὸς ἐφικνεῖσθαι τοῦ κριθέντος τὴν ἰδιότητα τοῦ πολιτεύματος. Ὅταν γε μὴν πάλιν ἀπολυθέντες τῶν ἐκτὸς φόβων ἐνδιατρίβωσι ταῖς εὐτυχίαις καὶ περιουσίαις, ταῖς ἐκ τῶν κατορθωμάτων, ἀπολαύοντες τῆς εὐδαιμονίας, καὶ ὑποκολακευόμενοι, καὶ ῥαθυμοῦντες τρέπωνται πρὸς ὕβριν, καὶ πρὸς ὑπερηφανίαν, ὃ δὴ φιλεῖ γίγνεσθαι· τότε καὶ μάλιστα συνιδεῖν ἔστι αὐτὸ παρ' αὑτοῦ πορίζομενον τὸ πολίτευμα τὴν βοήθειαν·

ἐπειδὰν γὰρ ἐξοιδοῦν τι τῶν μερῶν φιλονεικῇ, καὶ πλέον τοῦ δέοντος ἐπικρατῆται· δῆλον, ὡς, οὐδενὸς ἀρτιτελοῦς ὄντος κατὰ τὸν ἄρτι λόγον, ἀντισπᾶσθαι δὲ καὶ παραποδίζεσθαι δυναμένης τῆς ἑκάστου προθέσεως ὑπ' ἀλλήλων, οὐδὲν ἐξοιδεῖ τῶν μερῶν, οὐδ' ὑπερφρονεῖ· πάντα γὰρ ἐμμένει τοῖς ὑποκειμένοις, τὰ μὲν κωλυόμενα τῆς ὁρμῆς, τὰ δὲ ἐξ ἀρχῆς δεδιότα τὴν ἐκ τοῦ πέλας ἐπίστασιν.

NOTÆ PHILOLOGICÆ

AD

ANALECTORUM GRÆCORUM MAJORUM

TOMUM PRIOREM.

NOTÆ PHILOLOGICÆ

AD

EXCERPTA HISTORICA.

I. NOTÆ IN HERODOTUM.

1. Ex Herodoto.] Analecta hæc auspicari visum est ab Excerptis quibusdam ex Herodoto, historicorum Græcorum, qui hodie extant, vetustissimo; quod tamen nihil obstat, quo minus studiosæ juventuti prælecturus initium potius sumat ab iis, quæ ex Xenophontis *Anabasi* vel *Cyropædia* infra exhibentur. Herodotus enim, qui Ionica dialecto scripsit, studium linguæ Græcæ ingredientibus vix unquam, in ipso limine, proponitur. Natus est Olymp. LXXIV. 1. ante C. N. 484. U.C. 270. Ortus est Halicarnasso Cariæ urbe, unde Halicarnassei nomen adeptus est. Haud obscuro loco natus, patrem quidem habuit Lyxen, matrem autem Dryonem nomine. Optimis disciplinis, ut verisimile est, institutus, quum ad virilem ætatem pervenisset, tyrannidem Lygdamidis ægre ferens, Halicarnasso discessit, seque in insulam Samum recepit, ut ibi scribendi studio vacaret. Quo tamen melius historiam suam conderet, varias regiones peregrinans lustrabat, et, in Samum tandem reversus, quæ summa diligentia undique collegerat, scriptis consignare occepit. Circiter hoc tempus, oblata occasione patriam tyrannico dominatu liberandi, domum rediit. Ejus imprimis opere expulsus est Lygdamis, et Halicarnassus in libertatem vindicata. Odio autem et invidia quorundam factiosorum hominum vexatus, patriæ iterum valedixit, inque Græciam profectus est. Commode tunc temporis obvenit, ut omnis Græcia, ad Olympiam congregata, certamina solennia celebraret. Illuc properavit Herodotus; et, historiis suis, in consessu Græcorum frequentissimo, recitatis, summo cum omnium plausu exceptus est. Ibi adfuit Thucydides, cum patre suo Oloro, admodum adolescens; qui, dum audiret Herodotum recitantem, nobili quadam æmulatione commotus, lacrymas profudisse dicitur. Quod quum observasset Herodotus, Olorum compellans, laudabat ejus filium, qui tantum amorem in bonas literas tam mature 3.

ostendisset. Profectus Athenas, ibi historiæ suæ libros iterum recitavit; idque die festo Panathenæorum anni tertii Olymp. LXXXIII. Sub hoc tempus Atheniensium coloniæ, Thurium in Magnam Græciam deducendæ, ultro se comitem addidit; unde Thurius interdum dictus est. Ibi historiam suam recensuit et quibusdam auctariis instruxit. Utrum vero apud Thurium diem supremum obierit, necne, minus convenit inter auctores. Ex scriptis ejus ad nos tantum pervenere historiarum libri IX, Musarum nominibus inscripti: nam vitam Homeri, quæ aliquandiu sub ejus nomine circumferebatur, ab eo jam tandem adjudicarunt eruditi. Quod autem ad Historiæ fidem attinet, non defuere, qui veri amorem, sine quo historici nomen nullum est, in Herodoto valde desiderarunt. Etsi non negandum multa huic Scriptori inesse, quæ plane sunt fabulosa, omnique adeo fide indigna; sunt tamen plurima, de quibus nullus omnino dubitationi locus est. Atqui de fabulosis Herodoti narratiunculis observare liceat, illum id esse officii sui putasse videri, ut, quæ fando audiverat, ea lectoribus narraret, non tamen eo consilio, ut ipsas fabellas pro veris historiis acciperent; sed ut id tantum verum esse crederent, illum ab aliis eas narratas audivisse. Neque cuivis hoc mirum esse debet, secum reputanti, quam lectu jucundæ sint, etiam hisce temporibus, veterum Græcorum fabulæ; Herodotumque medias quasi partes inter historicum et poetam heroicum sustinuisse. Inepti sunt igitur, qui ei id vitio vertunt, quod, quum de rebus gestis antiquissimis historiam conderet, cujus magnam partem ab ore hominum accipere necesse fuit, fidem iis debitam, qui historias suas ex gentium nationumque tabulis publicis, aliisque monumentis, scriptura asservatis, exhauserint, ubique non assecutus fuerit.—De hoc historiæ Patre qui plura velit, adeat Fabricii Biblioth. Gr. lib. II. cap. 20; Vossium de Historicis Græcis, cap. 3; Harlesii Introd. in Hist. Ling. Gr. p. 108; Wesselingii Præf. in suam Herod. Hist. Edit. aliumque apparatum, quo instructus est iste liber; Saxii Onomast. literar. cæterosque auctores ibi indicatos; *Mémoires de l'Académie des Inscripp. et B. Lettres, tom.* XIX. Edit. Paris.

2. Ἐκ τῆς ΚΛΕΙΟΥΣ.] Hoc est—*Ex libro primo, qui inscribitur* CLIO. Verum quo tempore Libri IX Historiarum Herodoti Musarum nominibus inscripti essent non liquido constat.

3. Ἐτυράννευε—Κορίνθου·] *Tyrannus erat*, vel *rex*, *Corinthi.* Anglice, *Was king of Corinth.* Τυραννεύω, atque multa alia ejusmodi verba, habent post se genit. vel dativ. Valet nempe *τυραννεύω* idem ac *τύραννος εἰμὶ*, *tyrannus, rex sum.*

4. τῷ] *cui.* Dat. s. m. articuli. Sed notandum, articulum sæpissime usurpari, non solum apud Herodotum, sed etiam apud

Homerum, aliosque scriptores Ionicos, vice pronominis relativi, quod est ὅς, ἥ, ὅ, *qui, quæ, quod.*

5. σφι] *his;* vel *ipsis:* pro σφίσι, d. pl. cujus nominativ. s. est ὅς, pronomen scil. substantivum tertiæ personæ; gen. οὗ, *&c.*

6. ἐν τῷ βίῳ,] τῷ δὴ—ἐν τῷ βίῳ.—Anglice, *The greatest wonder in whose lifetime was &c.*

7. παραστῆναι·] a verbo παρίστημι, *sisto, exhibeo.* παραστῆναι, in aoristo secundo, *adstare, obtingere.* ἵστημι, cum compositis ejus, in præsenti vim exserit activam, in aoristo secundo, neutram. Vide infra ad p. 23. n. 3.

8. ἈΡΙΟΝΑ—ἐξενειχθέντα—] i. e. λέγουσι Ἀρίονα ἐξενειχθέντα, quod idem est ac λέγουσι Ἀρίονα ἐξενειχθῆναι, *dicunt Arionem evectum esse*—scil. *e Tarento,* ut infra. ἐπὶ δελφῖνος—ἐπὶ Ταίναρον. *delphino insidentem——ad Tænaron.* Nimirum, ἐπὶ regens genit. significat *quietem in.* Angl. *rest* UPON: eadem autem regens accusat. notat *motum in,* vel *ad.* Angl. *motion directed* UPON, *motion* TOWARDS.

9. οὐδενὸς δεύτερον.] *nemini secundum.*

10. διθύραμβον,] Carmen Baccho præsertim dicatum, qui et ipse Διθύραμβος vocatur. Carminis genus, verbis pariter ac rebus, ordineque audax, et ebriorum licentiæ quam modestiæ sobriæ propinquius. Plura volentibus dabit ad Pind. Olymp. p. 307. seq. Erasmus Schmidius. GESNER.

11. τῶν ἡμεῖς ἴδμεν,] *quos novimus,* τῶν pro relativo ὧν, uti paulo supra; et apud Græcos "Relat. concordat cum Antece-"dente, non solum in genere et numero, verum sæpe etiam in "casu." Vide ἴδμεν in Append. vocum Ionicarum.

12. τὸν πολλὸν τοῦ χρόνου] Angl. *the greater part of his time.* De Articulo reddito per pron. possess. vide infra ad n. 16. πολλός, *multus,* sæpe flectitur regulariter apud Ionicos scriptores: πολλὸν in accus. vulgo πολύν.

13. Ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος,] Eum *igitur in eo esse ut proficisceretur Tarento;*—Angl. *That he was setting out then from Tarentum,*—νυν, sine accentu, idem Ionice quod οὖν, *igitur;* sed νῦν, *nunc.* Τάραντος, a nominat. Τάρας. Verum observandum est, per totam hanc de Arione narratiunculam, identidem subaudiendam esse vocem λέγουσι.

14. μισθώσασθαι πλοῖον] *navigium mercede conduxisse.* Notanda est hic significatio vocis mediæ: μισθόω, *mercede loco;* μισθόομαι in v. media, *mercede conduco.*

15. Τοὺς δὲ] Τοὺς Κορινθίους nempe; ἐν τῷ πελάγει, Angl. *at sea.*

16. ἔχειν τὰ χρήματα.] supple ἐκείνου.—Angl. *to get his money.*

17. Τὸν δὲ,] Ἀρίονα nempe; συνιέντα τοῦτο, λίσσεσθαι, χρήματα μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον. *Illum autem, hoc intellecto, orasse, divitias quidem ipsis tradentem, vitam vero enixe*

rogantem. Angl. *And that he, having learned this, prayed; giving up to them his money, but earnestly begging his life.* αἰτέω, *peto,* αἰτέομαι, in v. media, *aliquid mihi dari* peto.

4. 1. ἢ αὐτὸν διαχρᾶσθαί μιν,] Angl. *either that he should kill himself.* χράομαι, *utor,* διαχράομαι, *omnino utor, perficio, finio, interficio,* v. μιν in Append. Vocum Ionicarum.

2. τὴν ταχίστην.] i. e. κατὰ τὴν ταχίστην ὁδόν. Angl. *instantly.*

